Nam vel infinities infinitus numerus ex compositione factus, resolutus tamen in vnitatem desinit, et facto ab hac initio numerus compositus crescit in immensam multitudinem; ideo non numerum, sed elementum et principium numeri hanc dixerunt, quibus curae est consectari talia. Ad haec coelestem illum cibum animae qui manna vocatur, omnibus petentibus verbum diuinum ex aequo distribuit, aequalitati studiose prospiciens. Testis est Moses, dicens: *Nec plus colligenti superfuit, nec minus colligenti defuit*, quando miranda optandaque analogiae mensura vsi sunt: ex qua didicerunt quod singuli non tam hominibus congruis apud se quam et moribus collegerint; quantum enim cuique competebat, tantum ipsi prouidenter assignatum est, vt nihil vel deesset vel superesset. Similem analogicam aequalitatem licet inuenire in pascha, vt vocant. Est autem pascha, quando anima brutos affectus meditatur dediscere, et rationalem animi tranquillitatem vltro subit. Praecipitur enim sic: *Si pauci fuerint in domo, adeo vt non possint agnum absumere, assumatur vicinus proximus pro animarum numero*, vt supputatione facta cedat cuique sua portio, qua et dignus est et indiget. Cum autem instar re-

 gionis

z) Ita MSS. Aug. et Coll. Nou. (atque Cod. A.) pro ἀπεπληρώθη in Edit.

a) Exod. XII, 6.

b) Forsan μοῖραν.

c) Ita MSS. pro τόπον in Edit. (et Cod. A.) Ex iisdem addidi τὴν ἀρετήν, quod in Editis deerat (etiam Cod. A. deest.)

χώρας τὴν ἀρετὴν εἰς τοὺς οἰκήτορας d) αὐτῆς ἐθελήσῃ διανέμειν, τοῖς πλείοσι πλεονάζειν· e) κενοὶ γὰρ ἐπιστήμης ἔσονται· καὶ τοῖς ἐλάττοσιν ἐλαττοῦν τὴν κατάσχεσιν προστάττει· δικαιῶν μήτε τοὺς μείζους ἐλαττόνων ἀξιοῦν, μήτε μὴν τοὺς ἐλάττους μειζόνων· χωρῆσαι γὰρ αὐτῶν τὸ μέγεθος οὐ δυνήσονται. Τῆς δὲ κατ᾽ ἀριθμὸν ἰσότητος ἐναργέστατον δεῖγμά ἐστι, τά τε τῶν f) δώδεκα ἀρχόντων ἱερὰ δῶρα, καὶ ἔτι τὰ ἀπὸ τῶν δώρων διανεμόμενα τοῖς ἱερεῦσιν. g) Ἑκάστῳ γάρ, φησι, τῶν υἱῶν Ἀαρὼν ἔσται τὸ ἴσον. Παγκάλως δὲ καὶ ἡ περὶ τὴν σύνθεσιν τῶν ἐκθυμιωμένων ἐστὶν ἰσότης· λέγεται γάρ, h) Λάβε σεαυτῷ ἡδύσματα, στακτὴν, ὄνυχα, καὶ χαλβάνην i) ἡδύσμου, καὶ λίβανον διαφανῆ, ἐξαίρετον ἐξαιρέτῳ, ἴσον ἴσῳ, καὶ ποιήσουσιν αὐτὸ θυμίαμα, μύρον, μυρεψοῦ ἔργον, συνθέσεως καθαρᾶς, ἔργον ἅγιον. Ἕκαστον γὰρ τῶν μερῶν ἑκάστῳ φησὶ δεῖν ἴσον συνέρχεσθαι πρὸς τὴν τοῦ ὅλου κρᾶσιν. Ἔστι δ᾽ οἶμαι τὰ τέσσαρα ταῦτα ἐξ ὧν τὸ θυμίαμα συντίθεται, k) σύμβολα τῶν στοιχείων, ἐξ ὧν ἀπετελέσθη σύμπας ὁ κόσμος. Στακτὴν μὲν γὰρ ὕδατι, γῇ δὲ ὄνυχα, χαλβάνην δὲ ἀέρι, τὸν δὲ διαφανῆ l) λίβανον πυρὶ ἀπεικάζει. Στακτὴ μὲν γὰρ παρὰ τὰς σταγόνας, ὑδατῶδες· ξηρὸν δὲ ὄνυξ καὶ γεῶδες· ἡ δὲ χαλβάνη τοῦ ἡδύσμου πρὸς τὴν ἀέρος ἔμφασιν προσετέθη· τὸ γὰρ εὐῶδες ἐν ἀέρι. Τῷ δὲ λιβάνῳ τὸ διαφανὲς, πρὸς φωτὸς ἔνδειξιν. Διὸ καὶ τὰ βάρος ἔχοντα τῶν κούφων διεχώρισε, τὰ μὲν τῷ συμπλεκτικῷ συνδέσμῳ ἑνώσας, τὰ δὲ m) διαλελυμένως ἐξενεγκὼν, ἔφησε, Λάβε σεαυτῷ

d) Sic Cod. Vat. Editi (et Cod. A.) αὐτοῦς.

e) Κενοὶ γὰρ ἐπιστήμης ἔσονται, restitui ex MSS.Vat. Aug. et Coisl. (Cod. A. desunt.)

f) Sic MSS. quibus etiam abunde suffragatur textus Num. VII. Erant enim duodecim tribus omissa Leuitica. Editi (acc Cod. A) ἕνδεκα.

g) Num. VII, 5.

h) Exod. XXX, 33.

i) MSS. (et Cod. A.) ἀρωμάτων, pro ἡδύσμου.

gionis virtutem nouellis colonis diuidit, maiorem portionem pluribus, minorem paucioribus attribuit, aequum ratus, vt neque parua maioribus, (etenim scientia destituentur) committantur, neque magna tenuibus, non enim eorum magnitudinis capaces erunt. Aequalitatis autem, quae iuxta numerum iudicatur, exemplum euidentissimum est in duodecim principum sacris oblationibus, et earum in sacerdotes distributione. *Vnicuique,* inquit, *ex filiis Aaron erit aequa portio.* Est et in compositione aromatum ad suffitum pulcherrima aequalitas; praecipitur enim: *Sume tibi odoramenta, stacten, onycem, et galbanum suaueolens, et thus perlucidum, omnia lectissima et inter se paria: facientque ex eo suffitum, vnguentum, opus vnguentarii, purae compositionis, opus sacratum:* Singulas portiones ait pares oportere esse ad totius temperamentum. Opinor autem has quatuor species ex quibus suffitus componitur, figuras esse elementorum ex quibus constat mundus hic vniuersus. Nam per stacten aquam, per onycem terram, per galbanum aerem, per thus perlucidum ignem significat. Siquidem stacte a stillando dicta, est liquida, onyx terrestris et aridus, galbanum suaueolens additum est ad significandum aerem: odor enim locum habet in aere. Thuri quoque *perlucidum* cognomen additur, vt ignem subindicet. Ideo grauia separauit a leuibus, altera per copulatiuam coniunctionem vniens, altera disiun-



k) Ita MSS. Editi (et Cod. A.) *σύμβολον.*

l) MSS. *λιβάνωντον.* Hes. v. *λίβανος, τὸ δένδρον καὶ τὸ ὄρος. λιβάνωτος δὲ ὁ καρπὸς αὐτȣ͂, εἶδος θυμιάματος.* Ergo secundum doctissimum Grammaticum melius scribitur *λιβάνωτον.* Sed non diffitendum LXX interpretes, quos Philo sequitur, semper *λίβανος* scribere, vno excepto loco 1 Paral. IX, 29. Vid. Apocal. VIII, 3. et ibi Aretham.

m) MSS. *διαλελυμένων.*

τῷ ἡδύσματα, στακτὴν, ὄνυχα. Ταῦτα ἀσύνδετα τῶν βάρος ἐχόντων, ὕδατός τε καὶ γῆς, σύμβολα. Εἶτα ἀφ᾽ ἑτέρας ἀρχῆς μετὰ συμπλοκῆς, Καὶ χαλβάνην ἡδύσμου, καὶ λίβανον διαφανῆ· ταῦτα πάλιν καθ᾽ ἑαυτὰ τῶν κούφων, ἀέρος καὶ πυρὸς, τὰ σημεῖα. Τὴν δὲ τούτων ἐμμελῆ σύνθεσίν τε καὶ κρᾶσιν, τὸ πρεσβύτατον καὶ τελειότατον ἔργον, ἅγιον, ὡς ἀληθῶς εἶναι συμβέβηκε τὸν κόσμον, ὃν διὰ συμβόλου τοῦ θυμιάματος οἴεται δεῖν εὐχαριστεῖν τῷ πεποιηκότι· ἵνα n) λόγῳ μὲν ἡ μυρεψικῇ τέχνῃ κατασκευασθεῖσα σύνθεσις ἐκθυμιᾶται, ἔργῳ δὲ ὁ θείᾳ σοφίᾳ δημιουργηθεὶς κόσμος ἅπας ἀναφέρηται, πρωῒ καὶ δειλινῆς ὁλοκαυτούμενος. Βίος γὰρ ἐμπρεπὴς κόσμῳ, τῷ πατρὶ καὶ ποιητῇ συνεχῶς καὶ ἀδιαστάτως εὐχαριστεῖν, μονονοὺκ ἐκθυμιῶντι καὶ ἀναστοιχειοῦντι ἑαυτὸν, πρὸς ἔνδειξιν τοῦ μηδὲν θησαυρίζεσθαι, ἀλλ᾽ ὅλον ἑαυτὸν ἀνάθημα ἀνατιθέναι τῷ γεγεννηκότι θεῷ. Θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστὶ δραμόντα συντόνως ἱερὸν λόγον, o) ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων. Εὐθὺς γὰρ, φησὶ Μωσῆς, p) ἐκόπασεν ἡ θραῦσις. Ἀλλ᾽ οὐκ ἔμελλε κοπάσαι καὶ ἐπικουφίσαι τὰ περιθρύπτοντα καὶ καταγνύντα καὶ συντρίβοντα τὴν ἡμετέραν ψυχὴν, μὴ διατειχίσαντος τοῦ θεοφιλοῦς τοὺς ὁσίους, οἳ ζῶσιν ἀψευδῶς, ἀπὸ τῶν ἀνοσίων, οἳ τεθνήκασι πρὸς ἀλήθειαν, q) λογισμοῦ. Τῷ γὰρ ἐγγὺς εἶναι πολλάκις νοσούντων, καὶ οἱ σφόδρα ὑγιαίνοντες ἐνδεξάμενοι τὴν ἐκείνων νόσον, ἐμέλλησαν τελευτῆσαι. Τοῦτο δ᾽ ἀμήχανον ἦν ἔτι παθεῖν διαζευχθέντα ὅρῳ μέσῳ παγέντι δυνατωτάτῳ, ὃς τὰς ἐφόδους καὶ ἐπιδρομὰς τοῦ χείρονος μέρους ἀπὸ τοῦ βελτίονος r) ἀνασώσει. Τεθαύμακα δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούω τῶν ἁγίων λογίων ἀνα-

διδά-

n) Sic MSS. Aug. Coisl. et Coll. Nou. (acc. Cod. A.) Editi λόγον.

o) Num. XVI, 48.

p) MSS. Aug. Coisl. et Coll. Nou. addunt ἔστη, et ſic recte Supra enim ſcribitur, ἵνα στῇ μέσος τεθνηκότων. Omnino ergo ad ſententiam abſoluendam ſcribe, ἔστη.

disiunctim proferens dicendo, *Sume tibi odoramenta, stacten, onycem.* Haec disiunctim significatiua grauium, aquae terraeque. Deinde incipiens denuo per copulam, *et galbanum suaueolens et thus perlucidum*, quae iam leuia *elementa*, aerem et ignem, significant. Temperaturam autem ex his compositam, antiquissimum perfectissimumque opus vere sanctum, dicimus hunc mundum, qui per figuram suffitus admonetur, vt agat creatori Deo gratias: vt verbo quidem vnguentaria compositio adoleatur, sed reuera totus mundus per Dei sapientiam fabricatus, mane ac vespere accensus exhalet vaporem suaueolentissimum. Haec enim vita decet mundum, vt parenti suo factorique indesinenter agat gratias, tantum non euaporans et in elementa resoluens seipsum, vt declaret se nihil sibi recondere, sed totum seipsum offerre creatori ac dedicare. Illud quoque mirari subit sacrosanctum *verbum*, magna contentione ac celeritate properans, *vt stet inter viuos et mortuos. Mox enim*, inquit Moses, *cessauit attritio.* Nec tamen cessare coepisset et compescere ea quae affligunt, frangunt et contundunt nostram animam, nisi vir Deo charus diremisset sanctos animos, qui vere viuunt, profanis, qui mortui sunt, si rem vere consideres. Saepe enim etiam sani, propter viciniam aegrotorum, contagione periclitati sunt. Id periculum hinc sublatum fuit interposito medio termino validissimo, qui arceret a parte meliore deterioris impetum. Sed magis etiam miror, dum e sacris eloquiis disco, quomodo *nubes interiecit se mediam inter Aegyptiacas et Israeliticas*



q) Scribe λογισμὸς, vel λογισμῶν. *Animos* scil. vel *cogitationes*.

r) Scribe ἀνωθήσει, vel ἀντωθήσει, vtraque enim vox a Philone vsurpatur. Sic supra p. 173. (p. 208. lin. 3. Tom. II. e. n.) et p. 505.

διδάσκωμαι, ὃν τρόπον εἰσῆλθε s) νεφέλη μέση τῆς Αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτικῆς στρατιᾶς. Ὑπὸ γὰρ τοῦ φιλοπαθοῦς καὶ ἀθέου τὸ ἐγκρατὲς καὶ θεοφιλὲς γένος οὐκ ἔτι εἴασε διώκεσθαι, τὸ σκεπαστήριον καὶ σωτήριον τῶν φίλων, ἀμυντήριον δὲ καὶ κολαστήριον τῶν ἐχθρῶν t) ὅπλον, ἡ νεφέλη. Διανοίαις μὲν γὰρ ἀρετώσαις, ἠρέμα σοφίαν ἐπιψεκάζει, τὴν ἀπαθῆ παντὸς κακοῦ· λυπραῖς δὲ καὶ ἀγόνοις ἐπιστήμης ἀθρόας κατανίφει τιμωρίας, κατακλυσμῶν u) φθορὰν οἰκτίστην ἐπιφέρουσα. Τῷ δὲ
13 ἀρχαγγέλῳ καὶ πρεσβυτάτῳ λόγῳ δωρεὰν ἐξαίρετον ἔδωκεν ὁ τὰ ὅλα γεννήσας πατήρ, ἵνα μεθόριος στὰς τὸ γενόμενον διακρίνῃ τοῦ πεποιηκότος. Ὁ δ' αὐτὸς ἱκέτης μέν ἐστι τοῦ θνητοῦ κηραίνοντος ἀεὶ, πρὸς x) τὸ ἄφθαρτον, πρεσβευτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον. Ἀγάλλεται δὲ ἐπὶ τῇ δωρεᾷ, καὶ σεμνυνόμενος αὐτὴν ἐκδιηγεῖται φάσκων, y) Κἀγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν· οὔτε ἀγέννητος ὡς ὁ θεὸς ὤν, οὔτε γεννητὸς ὡς ὑμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων· παρὰ μὲν τῷ φυτεύσαντι, πρὸς πίστιν τοῦ μὴ σύμπαν z) ἀφανίσαι ποτὲ καὶ ἀποστῆναι τὸ γένος, ἀκοσμίαν ἀντὶ κόσμου ἑλόμενον· παρὰ δὲ τῷ φύντι, πρὸς εὐελπιστίαν τοῦ a) μήποτε τὸν ἵλεων θεὸν περιιδεῖν τὸ ἴδιον ἔργον. Ἐγὼ γὰρ ἐπικηρυκεύσομαι τὰ εἰρηναῖα b) γενέσει παρὰ τοῦ καθαιρεῖν πολέμους ἐγνωκότος, εἰρηνοφύλακος ἀεὶ θεοῦ.

Διδάξας οὖν ἡμᾶς περὶ τῆς εἰς ἴσα τομῆς ὁ ἱερὸς λόγος, καὶ πρὸς τὴν τῶν ἐναντίων ἐπιστήμην ἄγει, c) φάσκων d) ὅτι τὰ τμήματα ἔθηκεν ἀντιπρόσωπα ἀλλήλοις. Τῷ γὰρ ὄντι πάνθ' ὅσα ἐν κόσμῳ σχεδὸν ἐναντία εἶναι πέφυ-

κεν·

s) Exod. XIV, 19.

t) Ita MS. Aug. (et Cod. A.) pro ὅπλων in Edit.

u) Repone φορὰν. Cuius erroris exempla passim occurrunt. vid. de Agricult. p. 58. Tom. III. e. n. et de Somniis. p. 1143. ed. Paris.

x) Melius τὸν, sc. Deum.

y) Num. XVI, 48.

*ticas copias.* Nam haec nubes protegens et conferuans amicos, propulſans autem et exagitans hoſtes, populum pium et temperantiae deditum non ſinebat exagitari ab impia et ſeruiente affectibus gente. Mentibus enim virtute praeditis placide irrorat ſapientiam ſecuram a malis omnibus: in duras autem ac bonarum artium ſteriles, poenas depluit copioſas, inferens eis inundationis impetum exitioſum. Caeterum illi angelorum principi, verbo antiquiſſimo, hoc eximium donum conceſſit pater omnipotens, vt in confinio ſtans, facturam a factore diſcerneret. Idem ſupplex immortalem appellat, pro mortalibus ſemper labentibus deprecans, et a ſummo rege legatus eſt ad ſubditos. Quod munus tam libenter accipit, vt iactet etiam, dicens: *et ego ſteteram medius inter vos et Dominum.* Videlicet nec ingenitus vt Deus, nec genitus vt vos, ſed inter extrema medius, apud vtrosque agens obſidem: apud creatorem, vt fides fiat, nunquam vniuerſum genus abſceſſurum et habenas excuſſurum, reuolutum in perturbationem ab ordine: apud creaturam vero, vt ea certam ſpem habeat, nunquam Deo propitio curam operis ſui defore. Ego enim denuncio creaturae pacem ab eo qui bella tollit Deo, pacis cuſtode perpetuo.

Poſtquam igitur de ſectione in portiones aequas ſacra ſcriptura nos docuit, ducit nos et ad oppoſitorum ſcientiam, dicens portiones *eas oppoſitas inter ſe inuicem.* Nam reuera propemodum omnia quae mundo con-

z) Forte reponendum ἀφηνιάσαι, quae vox ſatis cum Contextu congruit.

a) MSS. μηδέποτε.

b) MSS. τῇ γενέσει.

c) Gen. XV, 10.

d) Sic MSS. pro ὅτι τάγματα in Edit. (et Cod. A.)

κεν· ἀρκτέον δὲ ἀπὸ τῶν πρώτων· θερμὸν ἐναντίον ψυχρῷ, καὶ ξηρὸν ὑγρῷ, καὶ κοῦφον βαρεῖ, καὶ σκότος φωτὶ, καὶ νὺξ ἡμέρᾳ. Καὶ ἐν οὐρανῷ μὲν, ἡ ἀπλανὴς τῇ πεπλανημένῃ φορᾷ· κατὰ δὲ τὸν ἀέρα, αἰθρία νέφεσι, νηνεμία πνεύμασι, θέρει χειμὼν, ἔαρι μετόπωρον· τὸ μὲν γὰρ ἀνθεῖ, τὸ δὲ φθίνει. Τὰ δ' ἔγγεια πάλιν· ὕδατος τὸ γλυκὺ τῷ πικρῷ, καὶ γῆς ἡ στεῖρα τῇ γονίμῳ. Καὶ τὰ ἄλλα δὲ ἐναντία, πρόσπτα σώματα ἀσώματα, ἔμψυχα ἄψυχα, λογικὰ ἄλογα, θνητὰ ἀθάνατα, αἰσθητὰ νοητὰ, καταληπτὰ ἀκατάληπτα, στοιχεῖα ἀποτελέσματα, ἀρχὴ τελευτὴ, γένεσις φθορὰ, ζωὴ θάνατος, νόσος ὑγεία, λευκὸν μέλαν, δεξιὰ εὐώνυμα, δικαιοσύνη ἀδικία, φρόνησις ἀφροσύνη, ἀνδρεία δειλία, σωφροσύνη ἀκολασία, ἀρετὴ κακία, καὶ τὰ τῆς e) ἑτέρας εἴδη πάντα τοῖς τῆς ἑτέρας εἴδεσι πᾶσι. Πάλιν γραμματικὴ ἀγραμματία, μουσικὴ ἀμουσία, παιδεία ἀπαιδευσία, συνόλως τέχνη ἀτεχνία· καὶ τὰ ἐν ταῖς τέχναις, φωνήεντα στοιχεῖα καὶ ἄφωνα, ὀξεῖς καὶ βαρεῖς φθόγγοι, εὐθεῖαι καὶ περιφερεῖς γραμμαί. Καὶ ἐν ζώοις καὶ φυτοῖς, ἄγονα γόνιμα, πολυτόκα ὀλιγοτόκα, ᾠοτόκα ζωοτόκα, μαλακὰ ὀστρακόδερμα, ἄγρια ἥμερα, μονωτικὰ ἀγελαῖα. Καὶ πάλιν, πενία πλοῦτος, δόξα ἀδοξία, δυσγένεια εὐγένεια, ἔνδεια περιουσία, πόλεμος εἰρήνη, νόμος ἀνομία, ἀφυΐα εὐφυΐα, ἀπονοία πόνος, νεότης γῆρας, δύναμις ἀδυναμία, ἀσθένεια ῥώμη. Καὶ τί δεῖ τὰ καθ' ἕκαστον ἀναλέγεσθαι, ἀπερίγραφα καὶ ἀπέραντα ὄντα τῷ πλήθει; Παγκάλως οὖν ὁ τῶν τῆς φύσεως ἑρμηνευτὴς f) γραμμάτων, τῆς ἀργίας καὶ ἀμελετησίας ἡμῶν λαμβάνων οἶκτον, ἕκαστον g) ἀφανῶς ἀναδιδάσκει, καθὰ καὶ νῦν, τὴν ἀντιπρόσωπον ἑκάστων θέσιν οὐχ ὁλοκλήρων, ἀλλὰ τμημάτων ὑπαρχόντων· ἐν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν ἐναντίων, οὗ τμηθέντος, γνώριμα τὰ ἐναντία. Οὐ τοῦτ' ἐστιν ὅ φασιν Ἕλληνες τὸν μέγαν καὶ ἀοίδιμον παρ' αὐτοῖς Ἡράκλειτον, h) κεφάλαιον τῆς αὐτοῦ προστησάμε-

e) Ita MSS. pro ἑκατέρας. Ex eisdem restitui τοῖς — — πᾶσι (Cod. A. accedit.)

f) Melius forte πραγμάτων.

continentur ſuapte natura ſunt contraria; incipiendum autem a primis: calidum contrarium eſt frigido, aridum humido, leue graui, tenebrae lumini, nox diei. In coelo etiam ſtellarum fixarum orbis contrarius eſt erraticarum orbibus: in aere contraria ſunt nubilum et ſerenitas, ventus et tranquillitas, aeſtas et hiems, ver et autumnus. Nam illud floret, hic marceſcit. Quin etiam in rebus terrenis dulces aquae amaris ſunt contrariae, fertiles agri ſterilibus. Videmus etiam in aliis contrarietatem, vt ſunt viſibilia corpora et incorporea, animata inanima, rationalia irrationalia, mortalia immortalia, ſenſibilia intelligibilia, perceptibilia inperceptibilia, elementa concreta, principium finis, generatio corruptio, vita mors, ſanitas infirmitas, album nigrum, dextrum ſiniſtrum, iuſtitia iniuſtitia, prudentia imprudentia, fortitudo timiditas, temperantia intemperantia, virtus vitium, et alterius omnibus ſpeciebus alterius omnes ſpecies. Ita literatura literarum inſcitia, muſica eius imperitia, eruditio ineruditio, ſolertia inertia: quin etiam quae ad artes pertinent, elementa muta et vocalia, acuti et graues ſoni, rectae et circulares lineae. In animalibus ac ſtirpibus, foecunda ſterilia, multipara paucipara, ouipara viuipara, mollia teſtacea, fera manſueta, ſolitaria gregalia. Item, paupertas diuitiae, claritas obſcuritas, nobilitas ignobilitas, copia inopia, bellum pax, ius iniuria, gnauitas ignauia, otium negotium, iuuentus ſenectus, potentia impotentia, robur debilitas; at quorſum attinet percenſere ſingula, quorum infinita multitudo eſt? Itaque recte *rerum* naturae interpres pigritiam et incuriam noſtram miſerans, vnumquemque manifeſte monet ſicut et nunc vt ſingula contra ſe inuicem ponamus non integra, ſed dimidiata; vnum enim conſtat ex

g) Melius ἐμφανῶς.

h) Heraclitum rerum cauſas ex duobus contrariis principiis dedu-

σάμενον φιλοσοφίας, αὐχεῖν ὡς ἐφ' εὑρέσει i) καινῇ; παλαιὸν γὰρ εὕρεμα Μωσέως ἐςὶ, τὸ ἐκ τȣ͂ αὐτȣ͂ τὰ ἐναντία τμημάτων λόγον ἔχοντα ἀποτελεῖσθαι, καθάπερ ȣ͂ν k) παρεδείχθη.

Ταῦτα μὲν ȣ͂ν καὶ ἐν ἑτέροις ἀκριβώσομεν· ἄξιον δὲ κἀκεῖνο μὴ παρησυχασθῆναι. Τὰ γὰρ λεγόμενα διχοτομήματα, τριῶν ζώων διαιρεθέντων, ἓξ ἐγένετο, ὡς ἕβδομον τὸν τομέα εἶναι λόγον, διαςέλλοντα τὰς τριάδας, μέσον l) αὐτὸν ἱδρυσάμενον. Τὸ παραπλήσιόν μοι δοκεῖ σαφέςατα μεμηνύσθαι καὶ ἐπὶ τῆς ἱερᾶς λυχνίας· δεδημιȣ́ργηται γὰρ ἓξ καλαμίσκȣς ἔχȣσα, τρεῖς ἑκατέρωθεν· ἑβδόμη δὲ αὕτη μέση, διακρίνȣσα καὶ διαιρȣ͂σα τὰς τριάδας· τορευτὴ γάρ ἐςι, τεχνικὸν καὶ δόκιμον θεῖον ἔργον, ἐξ ἑνὸς χρυσίȣ καθαρȣ͂. Τὸ γὰρ ἓν καὶ μόνον καὶ καθαρὸν ὄντως, ἑβδομάδα τὴν ἀμήτορα γεγέννηκε καὶ ἐξ αὐτȣ͂ m) μόνου, μὴ προσχρησάμενον ὕλῃ τὸ παράπαν. Χρυσὸν δ' οἱ ἐγκωμιάζοντες, πολλὰ μὲν καὶ ἄλλα λέγȣσι τῶν εἰς ἔπαινον, δύο δὲ τὰ ἀνωτάτω· ἓν μὲν, ὅτι ἰὸν ȣ̓ παραδέχεται· ἕτερον δὲ, ὅτι εἰς ὑμένας λεπτοτάτȣς, ἀῤῥαγὴς διαμένων, ἐλαύνεταί τε καὶ χεῖται. Σύμβολον ȣ͂ν εἰκότως γέγονε μείζονος φύσεως, ἣ n) ταθεῖσα καὶ κεχυμένη καὶ φθάσασα πάντη, πλήρης ὅλη δι' ὅλων ἐςὶν, εὐαρμόςως καὶ τὰ ἄλλα συνυφήνασα. Περὶ o) τῆς εἰρημένης λυχνίας ὁ τεχνίτης διαλεγόμενος πάλιν φησὶν, p) ὅτι ἐκ τῶν καλαμίσκων εἰσὶν οἱ βλαςοὶ ἐξέχοντες τρεῖς ἑκατέρωθεν, ἐξισȣ́μενοι ἀλλήλοις, καὶ τὰ q) λαμπάδια

deducere, satis est notum. Ita Noster supra L. III. Alleg p. 248. T. I. e. n. Laert. L. IX. §. 8. Aristot. Phys. L. I.

i) Ita MS. Coll. Nou. pro κενῇ in Edit. (Cod. A. κενῇ superscripto αι. P.)

k) Ita ex MSS. repono pro ἀπείχθη. Forte tamen rectius scriberetur ἀπεδείχθη. (Cod. A. καθάπερ ὄναρ ἐδείχθη *sicut per somnum ostensum est.* P.)

ex ambobus contrariis, quo secto noscuntur contraria. Annon hoc est quod ferunt Graeci suum illum magnum et celebratum Heraclitum iactasse tanquam commentum nouum, et in eo collocasse caput totius philosophiae? Atqui vetus Mosis inuentum est, in eodem contrarias portiones animaduertere, sicut nunc ostensum est.

Haec igitur et alias persequemur diligentius: nunc illud quoque videtur non praetereundum silentio, quod dimidiatae partes trium animalium diuisorum sex factae sunt, vt septimus sit sermo ille incisor, dirimens terniones et seipsum in medio statuens. Cui simile opinor, quod manifeste memoratur de sacro candelabro; sic enim fabricatum est, vt sex cauliculos habeat, ternos vtrinque: ipsum exstans in medio, terniones dispescit et dirimit; est enim tornatile opus diuinum, insigni arte factum ex auro purissimo. Nam illud vnum solum sincerum ens, hebdomadem sine matre ex seipso solo genuit, nulla prorsus adhibita materia. Caeterum inter laudes auri multas duae referuntur praecipuae: vna quod non recipit rubiginem: altera quod in tenuissimas bracteas sine scissura diducitur. Merito igitur praestantiorem naturam significat, quae diffusa et protensa vsquequaque, tota per totum plena est, aptissime contexens caetera. De hoc candelabro ipse artifex disserens rursum dicit, quod cauliculi vtrinque terni procedebant pari proceritate, habentes in summo *lucernas nucibus similes, in floris speciem*

l) Ita MSS. Aug. et Coisl. pro αὐτῶν in Edit. (et Cod. A.)

m) Sic MS. Coll. Nou. Editi (et Cod. A.) καὶ μόνον.

n) Forsan ἐλαθεῖσα, supra enim ἐλαύνεταί τε καὶ χεῖται.

o) Editi et Cod. A. τῆς λυχνίας τῆς εἰρημένης. P.

p) Exod. XXV, 33.

q) Sic MSS. Aug. Coisl. et Coll. Nou. Editi (et Cod. A.) λαμπρά.

πάδια αὐτῶν ἅ ἐστιν ἐπὶ τῶν ἄκρων καρυωτὰ ἐξ αὐτῶν, καὶ τὰ ἀνθέμια ἐν αὐτοῖς, ἵν' ὦσιν ἐπ' αὐτῶν οἱ λύχνοι καὶ τὸ ἀνθέμιον r) τὸ ἕβδομον ἐπ' ἄκρου τοῦ λαμπαδίου στερεὸν, ὅλον χρυσοῦν, καὶ ἑπτὰ λύχνους ἐπ' αὐτοῖς χρυσοῦς· ὥστε διὰ πολλῶν ὠήθη κατασκευάζεσθαι, ὅτι ἑξὰς εἰς δύο τριάδας ὑπὸ μέσου τοῦ ἑβδόμου s) λόγου διῄρηται· καθάπερ t) ἔχει νυνί· πᾶσα γὰρ ἡ λυχνία σὺν τοῖς ὁλοσχερεστάτοις μέρεσιν αὐτῆς, ἃ ἕξ ἐστιν, ἐπάγη· λαμπαδίων ἑπτά, ἀνθεμίων ἑπτά, λύχνων ἑπτά. Διαιροῦνται δὲ οἱ μὲν ἓξ λύχνοι τῷ ἑβδόμῳ, τὰ δὲ ἀνθέμια ὁμοίως τῷ μέσῳ, καὶ τὰ λαμπάδια τὸν αὐτὸν τρόπον ὑπὸ τοῦ ἑβδόμου καὶ μέσου· οἱ δὲ ἓξ καλαμίσκοι, καὶ οἱ ἐκπεφυκότες ἴσοι βλαστοὶ, ὑπ' αὐτοῦ τοῦ στελέχους τῆς ἑβδόμης u). Πολὺν δ' ὄντα τὸν περὶ ἑκάστου λόγον, ὑπερθετέον εἰσαῦθις· x) τοσοῦτον δ' αὐτὸ μόνον ὑπομνηστέον, ὅτι τῆς κατ' οὐρανὸν τῶν ἑπτὰ πλανήτων πορείας μίμημά ἐστιν ἡ ἱερὰ λυχνία, καὶ οἱ ἑπτὰ λύχνοι οἱ ἐπ' αὐτῆς. Πῶς, ἐρήσεταί τις· ὅτι, y) φήσομεν, ὃν τρόπον οἱ λύχνοι, οὕτως καὶ τῶν πλανήτων ἕκαστος φωσφορεῖ. Λαμπρότεροι γὰρ ὄντες αὐγοειδεστάτας ἄχρι γῆς ἀποστέλλουσιν ἀκτῖνας· διαφερόντως δὲ ὁ μέσος τῶν ἑπτά, z) ἥλιος· μέσον δ' αὐτὸν, οὐ μόνον ὅτι μέσην ἐπέχει χώραν, ὡς ἠξίωσάν τινες, καλῶ, ἀλλ' ὅτι καὶ a) θεραπεύεσθαι, καὶ δορυφορεῖσθαι πρὸς ὑπασπιζόντων ἑκατέρωθεν, ἀξιώματος ἕνεκα καὶ μεγέθους καὶ ὠφελειῶν, ἃς τοῖς ἐπιγείοις ἅπασι παρέχει, δίκαιος b) ἄλλως ἐστί. Τήνδε τῶν πλανήτων τάξιν ἄνθρωποι παγίως μὴ κατειληφότες, (τί δ' ἄλλο τῶν κατ' οὐρανὸν ἴσχυσαν διανοῆσαι βεβαίως;) εἰκότως λέγουσιν. Ἄριστα δέ μοι στοχάζεσθαι δοκοῦσιν, οἱ τὴν μέσην ἀπονενεμηκότες ἡλίῳ τάξιν, τρεῖς μὲν ὑπὲρ αὐτὸν καὶ μετ' αὐτὸν τοὺς ἴσους εἶναι λέγοντες, ὑπὲρ αὐτὸν μὲν, Φαίνοντα, Φαέ-

r) Τὸ ἕβδομον deest MSS. et certe potest abesse saluo sensu; ibidem pro ἄκρου scribitur ἄκρων.

s) Forsan λύχνου.

t) Forsan ἐκείνη, scil. λυχνία.

u) Deesse videtur, λυχνίας.

*ciem lucernam ſuſtinentis*, exſtante in ſummo candelabro flore ſeptimo ex auro ſolido, et ſuper impoſiſitis ſeptem lucernis aureis: ita vt ex multis probabile fiat, ſenarium in duos terniones eſſe diuiſum ab illo ſeptimo in medio, verbo; ſicut et hodie: totum enim candelabrum cum ſex praecipuis ſui partibus compactum eſt e ſeptem cauliculis, ſeptem floribus, lucernis totidem. Diuiduntur autem ſex lucernae interueniente media ſeptima, ſimiliter et flores et cauliculi eminente ſeptimo in medio. Cauliculi autem illi et flores inde nati compares e medio ſeptimo ſtipite proueniunt. Verum de his quia multa dici poſſunt, differantur in tempus aliud: vnum in praeſenti dixiſſe ſat erit, quod ſeptem erraticorum ſiderum curſus ſimulacrum ſit hoc ſacrum candelabrum cum ſeptem lucernis ſuperpoſitis. Quomodo, rogabit aliquis: reſpondeo, quia ſicut lucernae, ſic et planetarum quisque praelucet; cum enim multum ſplendoris habeant, lucidiſſimos ad terram vsque mittunt radios: praecipue vero ſol eorum medius: medium autem voco, non ſolum quia iuxta multorum opinionem in medio ſitus eſt: ſed quia tali ſatellitio pro dignitate ſua et magnitudine atque vtilitate quam terrenis rebus omnibus exhibet ſtipari aliter quoque dignus eſt. Caeterum hunc ſiderum ordinem homines qui non poſſunt in ſolidum percipere (quid enim illi certo intelligunt in rebus coeleſtibus?) coniecturas ſuas ſequuntur. Nec male coniicere mihi videntur, qui Soli medium locum tribuunt, tres ſuper eum, totidem infra locando, ſuperiores Saturnum, Iouem, Martem, deinde Solem: poſt ipſum vero Mercurium, Vene-

x) Cod. A. τοσῦτο. P.
y) Cod. A. et Editi Φήσομεν. P.
z) Confer Clem. Alex. Strom. V. p. 563.
a) MSS. θεραπεύεται — — δικαίως, ſed nil muto.
b) Sic Mangeius.. Editi et Cod. A. ἀλλ' ὡς. P.

Φαέθοντα, Πυρόεντα, εἶθ᾽ Ἥλιον· μετ᾽ αὐτὸν δὲ Στίλβοντα, Φωσφόρον, τὴν ἀέρος γείτονα Σελήνην. Ἐπίγειον ἂν βυληθεὶς c) Ἀρχέτυπον τῆς κατ᾽ ὐρανὸν σφαίρας ἑπταφεγγῦς μίμημα παρ᾽ ἡμῖν ὁ τεχνίτης γενέσθαι, πάγκαλον ἔργον προσέταξε, τὴν λυχνίαν, δημιυργηθῆναι. Δέδεικται δὲ καὶ ἡ πρὸς ψυχὴν ἐμφέρεια αὐτῆς· ψυχὴ γὰρ τριμερής ἐςι, δίχα δὲ ἕκαςον τῶν μερῶν, ὡς ἐδείχθη, τέμνεται· μοιρῶν δὲ γενομένων ἓξ, ἕβδομος εἰκότως τομεὺς ἦν ἁπάντων, ὁ ἱερὸς καὶ θεῖος λόγος. Ἄξιον δὲ μηδ᾽ ἐκεῖνο παρησυχασθῆναι, τριῶν ὄντων ἐν τοῖς ἁγίοις σκευῶν, λυχνίας, τραπέζης, d) θυμιατηρίυ, τὸ μὲν θυμιατήριον εἰς τὴν ὑπὲρ τῶν ςοιχείων εὐχαριςίαν ἀνάγεται, e) ὡς ἐδείχθη πρότερον. Ἐπεὶ καὶ αὐτὸ μοίρας ἔχει τῶν τεσσάρων, γῆς μὲν τὰ ξύλα, ὕδατος δὲ τὰ ἐπιθυμιώμενα· πρότερον γὰρ τηκόμενα, εἰς λιβάδας αὖθις ἀναλύεται· τὸν δὲ ἀτμὸν ἀέρος, πυρὸς δὲ τὸ ἐξαπτόμενον. Καὶ ἡ σύνθεσις δὲ λιβανωτῦ καὶ χαλβάνης, ὄνυχός τε καὶ ςακτῆς, τῶν ςοιχείων σύμβολον. Ἡ δὲ τράπεζα, εἰς τὴν τῶν ὑπὲρ τῶν θνητῶν ἀποτελεσμάτων εὐχαριςίαν· ἄρτοι γὰρ καὶ f) σπονδεῖα ἐπιτίθενται αὐτῇ, οἷς ἀνάγκη χρῆσθαι τὰ τῆς τροφῆς δεόμενα. Ἡ δὲ λυχνία, εἰς τὴν ὑπὲρ τῶν κατ᾽ ὐρανὸν ἁπάντων, ἵνα μηδὲν μέρος τῦ κόσμυ δίκην ἀχαριςίας g) ὀφείλῃ· ἀλλ᾽ ἴδωμεν ὅτι πάντα τὰ μέρη τὰ h) κατ᾽ αὐτὸν εὐχα-

c) Melius, vt videtur, ἀρχετύπυ.

d) Proprie θυμιατήριον thuribulum significat, et eo sensu vsurpatur a D. Paulo Ep. ad Hebr. IX, 4. et passim apud LXX. interpretes. Atqui sic altare aureum vocat Philo, idque notanter, vid. infra L. III. de Vita Mos. p. 669. ed. Par. Iosephus quoque Antiq. L. III. c. 6. et 8. (adde de Bello Iud. L. VI, cap. 6. P.) aram suffitus θυμιατήριον vocat. Nil ergo mutandum, praesertim cum libri scripti non ab editis discrepant. Emendandus vero Iosephus L. XII, c. 5. Sic ille λυχνίας χρυσέας καὶ βωμὸν χρυσῦν καὶ τράπεζαν· καὶ τὰ θυσιαςήρια. Ibi repone θυμια-

Venerem et Lunam vicinam aeri. Itaque volens artifex terrestrem imaginem exemplaris coelestis, sphaerae septilustris, apud nos effingere, iussit pulcherrimum opus, hoc candelabrum, affabre fieri. Idem quam cum anima similitudinem habeat, solet ostendi; anima tripartita est, singulae vero partes eius (vt ostendimus) secantur bifariam: ita factis sex portionibus, septimus iure annumeratur ille sector omnium, verbum sanctum et diuinum. Nec illud silentio praetereundum, quod cum tria vasa sint in sacra supellectile, candelabrum, mensa, altare; hoc quidem ad eam quae pro acceptis elementis fit, gratiarum actionem refertur, vt ante demonstratum est; quando et ipsum portiones accipit ex his quatuor: terrae ligna, aquae aromata, quae liquefacta primo in humorem vertuntur, vaporem aeris, denique ignis flammam. Quin et illa compositio thuris, galbani, onycis, stactes; elementa figurat: at mensa ad gratiarum actionem pro rebus mortalibus confectis ex elementis parata est; panes enim et libamina super eam ponuntur, quae nutrimenta necessitas humana postulat. Caeterum candelabrum ad eam quae fit pro coelestibus omnibus, ne qua mundi pars ingratitudinis subeat crimen, sed omnium in eo partium gratitudo euidenter appareat, elementorum, et eorum

 quae

θυμιατήρια, *thuribula.* (Vsurpatur vox θυμιατήριον pro altari suffitus etiam ab Aquila et Theod. Ier. LII, 17. et ab incerto Exod. XL, 5. De loco vero Paulino, a Mangeio citato, alii aliter statuerunt; vide sis WOLFII cur. phil. in N. T. ad l. c. IOH. GOTTL. CARPZOVII Apparat. hist. crit. Antiq. sacri Cod. p. 260. et IOH. GE. MICHAELIS exercit. de thuribulo aureo, in Museo Brem. T. I. P.)

e) Editi et Cod. A. πρότερον ὡς ἐδείχθη. P.

f) Sic MS. Aug. Editi (et Cod. A.) σπονδαί.

g) Melius ὅφλῃ.

h) Editi et Cod. A. καθ' αὐτόν. P.

εὐχαριστεῖ, τὰ στοιχεῖα, τὰ ἀποτελέσματα, οὐ τὰ ἐπὶ γῆς μόνον, [ἀλλὰ καὶ] τὰ ἐν οὐρανῷ. Ἄξιον δὲ σκέψασθαι, διὰ τί τῆς τραπέζης καὶ τοῦ θυμιατηρίου τὰ μέτρα δηλώσας, τῆς [λυχνίας οὐδὲν ἀνέγραψε· μήποτε δι' ἐκεῖνο; ὅτι τὰ μὲν στοιχεῖα καὶ τὰ θνητὰ ἀποτελέσματα, ὧν ἡ τράπεζα καὶ τὸ θυμιατήριον i) σύμβολα, μεμέτρηνται, περατωθέντα ὑπὸ τοῦ οὐρανοῦ· ἀεὶ γὰρ τὸ περιέχον τοῦ περιεχομένου μέτρον. Ὁ δὲ οὐρανὸς, οὗ σύμβολόν ἐστιν ἡ λυχνία, ἀπειρομεγέθης ἐστί· περιέχεται γὰρ, k) ἀλλ' οὐχ ὑπὸ κενοῦ κατὰ Μωϋσῆν, l) οὔτε ὑπ' οὐδενὸς σώματος, οὔτε ἰσομεγέθους αὐτῷ, οὔτε ἀπείρου, διὰ τὴν ἐν τῇ πυργώσει μυθευομένην τερατολογίαν. Ἔστι δὲ ὅρος αὐτοῦ ὁ θεὸς, καὶ ἡνίοχος καὶ κυβερνήτης· ὥσπερ οὖν ἀπερίληπτον τὸ ὂν, οὕτως καὶ τὸ ὁριζόμενον ὑπ' αὐτοῦ, μέτροις τοῖς εἰς τὴν ἡμετέραν ἐπίνοιαν ἥκουσιν οὐ μετρεῖται· καὶ τάχα m) ἐπεὶ κυκλοτερὴς ὢν καὶ ἄκρως εἰς σφαῖραν n) ἀποτετορευμένος, μήκους καὶ πλάτους οὐ μετέχει.

Εἰπὼν οὖν τὰ πρέποντα περὶ τούτων, ἐπιλέγει, o) Τὰ δὲ ὄρνεα οὐ διεῖλεν· ὄρνεα καλῶν τοὺς πτηνοὺς καὶ με- Comp. T. III. p. 332. τεωροπολεῖν πεφυκότας δύο λόγους· ἕνα μὲν ἀρχέτυπον ὑπὲρ ἡμᾶς, ἕτερον δὲ μίμημα, τὸν καθ' ἡμᾶς ὑπάρχοντα. Καλεῖ δὲ Μωϋσῆς, τὸν μὲν ὑπὲρ ἡμᾶς, εἰκόνα θεοῦ, τὸν δὲ καθ' ἡμᾶς, τῆς εἰκόνος ἐκμαγεῖον. p) Ἐποίησε γὰρ, φησὶν, ὁ θεὸς τὸν ἄνθρωπον, οὐκ εἰκόνα, ἀλλὰ κατ' εἰκόνα. Ὥστε τὸν καθ' ἕκαστον ἡμῶν νοῦν, ὃς δὴ κυρίως καὶ πρὸς ἀλήθειαν ἄνθρωπός ἐστι, q) τρίτον εἶναι τύπον ἀπὸ τοῦ πεποιηκότος· τὸν δὲ μέσον, παράδειγμα μὲν τούτου, ἀπεικόνισμα δὲ ἐκείνου. Φύσει δὲ ἄτμητος ὁ

ἡμέ-

i) Ita MSS. (Editi et Cod. A. σύμβολον.)

k) Ἀλλ' — — Μωϋσῆν, desunt in MSS. omnibus, videnturque sane importuni librarii glossema. (Adsunt in Cod. A.)

l) Οὔτε Cod. A. deest. P.

m) Cod. A. ἐπικυκλοτερής. P.

n) Cod. A. ἀποτετορευμένον. P.

quae ex his conficiuntur, nec [solum] terrestrium, verum etiam coelestium. Hic considerandum occurrit, cur mensae atque altaris mensuris proditis, de candelabro nihil tale scribitur; an ob illam causam, quod elementa, et quicquid mortale constat ex his, quorum figurae sunt mensa et altare, dimensa sunt, coelo terminata? semper enim continens est contenti mensura. Coelum autem, cuius figura est candelabrum, infinitam habet magnitudinem. Continetur enim, sed non a vacuo, sicut Moses docet, nec ab vllo corpore vel pari magnitudine praedito, nec ab infinito, iuxta mirandas fabulas quas in mentione turris attigimus. Est autem eius terminus Deus, idem rector et gubernator; itaque sicut Ens ipsum est incomprehensibile, sic quod ab eo terminatur, mensuris nobis ignotis circumscribitur: et fortasse quia rotundus est in orbis absoluti speciem, caret longitudine et latitudine.

De his rebus ita vt decet locutus, addit: *aues autem non diuisit:* aues vocans alatas et natura sublimes naturas: alteram archetypam nobis superiorem, alteram, eius imaginem, quae inter nos versatur. Illam Moses vocat imaginem Dei, hanc autem nostram, sigillum expressum illa imagine. *Fecit*, inquit, *Deus hominem*, non imaginem, [sed *ad imaginem*. Itaque vniuscuiusque nostrum mens, quae proprie vereque homo est, tertia creatoris est effigies, intercedente exemplari huius, illius vero imagine.] Nostra vero mens suapte natura est indiuisibilis; nam rationis expertem



o) Gen. XV, 10.

p) Gen. I, 27.

q) Hinc personalitas λόγου secundum Philonis sententiam manifesto adstruitur. Cum enim λόγος sit Dei imago, mentis vero humanae exemplar, Deus vero et mens humana personalem habeant substantiam, sequitur etiam λόγον personaliter subsistere.

ἡμέτερος γέγονε νȣ̃ς· τὸ μὲν γὰρ ἄλογον ψυχῆς μέρος ἑξαχῆ διελὼν ὁ δημιȣργὸς, r) ἓξ μοίρας εἰργάσατο, ὅρασιν, γεῦσιν, ἀκοὴν, ὄσφρησιν, ἀφὴν, γόνιμον, φωνὴν· τὸ δὲ λογικὸν, ὃ δὴ νȣ̃ς ὠνομάσθη, ἄχιςον εἴασε, κατὰ τὴν τȣ̃ παντὸς ὁμοιότητα ȣ̓ρανȣ̃. Καὶ γὰρ ἐν τȣ́τῳ λόγος ἔχει, τὴν μὲν ἐξωτάτην καὶ ἀπλανῆ σφαῖραν, ἄτμητον φυλαχθῆναι, τὴν δ' ἐντὸς ἑξαχῆ τμηθεῖσαν, ἑπτὰ κύκλȣς τῶν λεγομένων πλανητῶν ἀποτελέσαι· ὃ γὰρ οἶμαι ἐν ἀνθρώπῳ ψυχὴ, τȣ̃το ȣ̓ρανὸς ἐν κόσμῳ. Τὰς ȣ̃ν νοερὰς καὶ λογικὰς δύο φύσεις, τήν τε ἐν ἀνθρώπῳ καὶ τὴν ἐν τῷ παντὶ, συμβέβηκεν ὁλοκλήρȣς καὶ ἀδιαιρέτȣς εἶναι. Διὸ λέγεται, Τὰ δὲ ὄρνεα ȣ̓ διεῖλε. Περιςερᾷ μὲν, ὁ ἡμέτερος νȣ̃ς, ἐπειδὴ τιθασσὸν καὶ σύντροφον ἡμῖν ἐςι τὸ ζῶον, εἰκάζεται, τῷ δὲ τȣ́τȣ παραδείγματι, ἡ τρυγών. Ὁ γὰρ s) θεȣ̃ λόγος φιλέρημος καὶ μονωτικὸς, ἐν ὄχλῳ τῶν γενομένων καὶ φθαρησομένων ȣ̓χὶ φυρόμενος, ἀλλ' ἄνω φοιτᾷν εἰθισμένος ἀεὶ, καὶ ἑνὶ ὀπαδὸς εἶναι μεμελετηκώς. Ἄτμητοι μὲν ȣ̃ν αἱ δύο φύσεις, ἥτε ἐν ἡμῖν τȣ̃ λογισμȣ̃, καὶ t) ὑπὲρ ἡμᾶς τȣ̃ θείȣ λόγȣ· ἄτμητοι δὲ ȣ̓̃σαι, μυρία ἄλλα τέμνȣσιν. Ὅ, τε γὰρ θεῖος λόγος, τὰ ἐν τῇ φύσει διεῖλε, καὶ u) διένειμε πάντα· ὅ, τε ἡμέτερος νȣ̃ς, ἅττ' ἂν παραλάβῃ νοητῶς πράγματά τε καὶ x) σώματα, εἰς ἀπειράκις ἄπειρα διαιρεῖ μέρη, καὶ τέμνων ȣ̓δέποτε λήγει. Τȣ̃το δὲ συμβαίνει, διὰ τὴν πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφέρειαν· τὸ γὰρ θεῖον ἀμιγὲς, ἄκρατον y) καὶ ἀμερέςατον ὑπάρχον, ἅπαντι τῷ κόσμῳ γέγονεν αἴτιον μίξεως,

r) Scribe ἑπτά. Sic infra de Decal. p. 759. ed. Par. Plato in Timaeo τὴν δὲ ἐντὸς σχίσας ἑξαχῆ, ἕπτα κύκλȣς ἀνίσȣς, quin etiam ſeptem animae partes ab autore enumerantur in hoc loco.

s) MSS. Aug. et Coll. Nou. θεός. Nec ſane mirum Philonem Dei nomen λόγῳ tribuere, cum eius proprietates ipſi paſſim tribuat; alibi vero Noſter hanc vocem de verbo praedicat, Lib. de Somn. p. 599. Ita vt Philo et D. Iohannes

pertem animae partem in sex alias portiones subdiuisit opifex: visum, gustum, auditum, odoratum, tactum, vim genitalem et vocem: rationalem vero partem, quae mens nominatur, indiuisam reliquit ad totius coeli similitudinem. Nam et illic aiunt extremum stellarum fixarum orbem indiuisum manere: interiorem vero in sex diuisum, planetarum (vt vocant) septem circulos efficere: quod enim est in homine anima, hoc (vt opinor) coelum in mundo. Ergo duae rationales et incorporeae naturae, altera in homine, altera in vniuerso, integrae manent et indiuisae; ideo dicitur, *Aues autem non diuisit.* Columbae nostra mens, vt mansueto et nobiscum degenti animali, assimilatur, huius autem exemplari turtur. Dei enim verbum amat deserta et solitudinem, non miscens se turbis rerum creatarum et corruptibilium, assuetum petere sublimia, et vnius quaerens delectari consuetudine. Sunt igitur hae duae naturae indiuisibiles, et nobis insita ratio, et illa diuina altera: et cum sint ipsae indiuisibiles, plurima secant alia. Nam et Dei verbum res naturae diuisit omnes atque discreuit: et nostra mens quicquid rerum ac corporum acceperit, in infinities infinitas partes diuidendo secare non cessat. Id accidit propter eam quam cum vniuersorum creatore patreque habet similitudinem. Nam numen purum, sincerum, indiuisibile cum sit, mundo toti autor est omnium mixturarum, partitionum, temperaturarum; merito igitur sibi mutuo similes mentes,



hannes tum verbis tum sententia videantur congruere. Vid. Ioh. I, 1. Nescio tamen annon in hoc loco scriptum fuerit ab auctore θεῖος λόγος, sic enim infra scribitur.

t) Adde ἡ. Sic infra νοῦς τε ὁ ἐν ἡμῖν, καὶ ὁ ὑπὲρ ἡμᾶς.

u) Forte melius διέκρινε. Ita infra.

x) MSS. Aug. Coisl. et Coll. Nou. νοήματα. Sed nil muto. Sic supra p. 58. l. 8. huius Tomi.

y) Καὶ Cod. A. deest. P.

ξεως, κράσεως, πολυμερίας· ὥστε εἰκότως καὶ τὰ ὁμοιωθέντα, νοῦς τε ὁ ἐν ἡμῖν, καὶ ὁ ὑπὲρ ἡμᾶς, ἀμερεῖς καὶ ἄτμητοι ὑπάρχοντες, διαιρεῖν καὶ διακρίνειν ἕκαστα τῶν ὄντων ἐῤῥωμένως δυνήσονται.

Λαλήσας οὖν περὶ τῶν ἀτμήτων καὶ ἀδιαιρέτων ὀρνέων, φησὶν ἑξῆς, Κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομηθέντα· ὁμωνυμίᾳ μὲν χρησάμενος, τὴν δὲ πραγματικὴν διαμάχην ἐναργέστατα τοῖς ὁρᾶν δυναμένοις διασυνιστάς. Παρὰ φύσιν γάρ ἐστι τὸ καταβαίνειν ὄρνεα, τοῦ μετεωροπολεῖν ἕνεκα πτερωθέντα. Καθάπερ γὰρ τοῖς χερσαίοις οἰκειότατον χωρίον γῆ, καὶ μάλιστα τοῖς ἑρπετοῖς, ἃ μηδ' z) ὑπὲρ αὐτῆς ἰλυσπώμενα ἀνέχεται, φωλεοὺς δὲ καὶ καταδύσεις ζητεῖ, τὸν ἄνω χῶρον ἀποδιδράσκοντα, διὰ τὴν πρὸς τὰ κάτω συγγένειαν· τὸν αὐτὸν τρόπον καὶ τοῖς πετεινοῖς ὁ ἀὴρ ἐνδιαίτημα οἰκεῖον, κούφοις διὰ τὴν πτέρωσιν ὁ φύσει κοῦφος. Ὅταν οὖν τὰ ἀεροπόρα αἰθεροβατεῖν ὀφείλοντα καταβαίνῃ πρὸς χέρσον ἀφικνούμενα, τῷ κατὰ φύσιν ἀδυνατεῖ χρῆσθαι βίῳ. Τοὐναντίον δὲ Μωϋσῆς καὶ ὅσα τῶν ἑρπετῶν μένα δύναται πηδᾶν, οὐ μετρίως ἀποδέχεται. Φησὶ γοῦν, a) Ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνωτέρω τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς ἀπὸ γῆς. Ταῦτα δ' ἐστὶ σύμβολα ψυχῶν, ὅσαι τρόπον ἑρπετῶν προσεῤῥιζωμέναι τῷ γηΐνῳ σώματι, καθαρθεῖσαι, μετεωροπολεῖν ἰσχύουσιν, οὐρανὸν ἀντικαταλλαξάμεναι γῆς, καὶ φθορᾶς ἀθανασίαν. Πάσης οὖν βαρυδαιμονίας ἀναπεπλῆρῶσθαι νομιστέον ἐκείνας, αἵτινες ἐν ἀέρι καὶ αἰθέρει τῷ καθαρωτάτῳ τραφεῖσαι, μετανέστησαν, τὸν κόρον τῶν θείων ἀγαθῶν οὐ δυνηθεῖσαι φέρειν, ἐπὶ b) τὸ θνητὸν καὶ κακὸν χωρίον γῆν. Ἐπιφοιτῶσι δὲ ἔννοιαι μυρίαι περὶ μυρίων πραγμάτων ὅσων, αἱ μὲν ἑκούσιαι, αἱ δὲ κατὰ ἄγνοιαν, αἱ οὐδὲν διαφέρουσι πτηνῶν, αἷς τὰ κατιόντα ἐξωμοίωσεν ὄρνεα. Τῶν δὲ ἐν-

νοιῶν

z) Forte ἐπὶ, sic enim scribit Plato in Timaeo p. 92. vnde haec videtur desumsisse noster.

noſtra et illa nobis ſuperior, cum ſint indiuiſibiles et inſecabiles, tamen diuidere et diſcernere valent ſingula.

Poſtquam autem dixit de indiſſectis et indiuiſis auibus, pergit narrare. *Et deſcenderunt aues in corpora diuiſa bifariam.* Vbi quamuis vtatur homonymia, tamen rerum diuerſitatem manifeſte aperit duntaxat lectori non indocili. Praeter naturam enim fit vt aues deſcendant, quae ad ſublimem volatum pennas acceperunt. Quemadmodum enim terreſtribus nullus locus magis quam terra conuenit, praeſertim reptilibus, quae ne ſuper ea quidem reptant, ſed fouearum quaerunt penetralia, fugiendo ſuperna ob cognationem quam habent cum inferis: eodem modo volucribus aer eſt proprium habitaculum, leuibus propter pennas ipſe quoque natura leuis. Cum igitur aeriuaga relicto aethere ſuo deſcendunt ad terram, non poſſunt iuxta naturam viuere: e diuerſo Moſes quaecunque reptilia poſſunt ſe ſaltu attollere, probat non mediocriter. Sic ergo praecipit: *Quaecunque de reptilibus alatis ambulant ſuper quatuor pedes, et habent crura vt eis ſaliant ſuper terram, haec comedetis.* Sunt autem hae figurae animarum, quae reptilium more affixae terreno corpori, mox purificatae, ſe poſſunt attollere, coelum terra permutantes, et corruptione immortalitatem. Omnium igitur miſerrimae iudicandae ſunt illae, quae in aere aethereque puriſſimo enutritae, non valentes perferre ſaturitatem diuinorum bonorum, ad terram, mortalem et malam regionem, demigrant. Eam vero peruadunt notiones plurimae de rebus plurimis, quaedam vltro accerſitae, quaedam obrepentes



a) Leu. XI, 21.

b) Sic MSS. Aug. Coisl. et Coll. Nou. pro τὸ θνητῶν μακάριον (in Edit. et Cod. A.)

νοιῶν ἡ μὲν ἄνω φορὰ τὴν ἀμείνω τάξιν ἔλαχε, συνοδοιπορούσης ἀρετῆς τῆς πρὸς τὸν οὐρανὸν καὶ θεῖον χῶρον ἀγούσης· τὴν χείρω δὲ ἡ κάτω, κακίας ἀφηγουμένης καὶ ἀντισπώσης βίᾳ· δηλοῖ δὲ καὶ τὰ ὀνόματα οὐχ ἥκιστα τὴν τῶν τόπων ἐναντιότητα. Ἀρετὴ μὲν γὰρ, οὐ μόνον παρὰ τὴν αἵρεσιν ὠνομάσθη, ἀλλὰ καὶ παρὰ c) τὸ αἴρεσθαι· αἴρεται γὰρ καὶ μετεωρίζεται, διὰ τὸ ἀεὶ τῶν ὀλυμπίων ἐρᾷν· κακία δὲ ἀπὸ τοῦ κάτω κεχωρηκέναι, καὶ καταπίπτειν τοὺς χρωμένους αὐτῇ βιάζεσθαι. Τὰ d) γοῦν πολέμια τῆς ψυχῆς e) ἐπιπετώμενα καὶ ἐπιφοιτῶντα νοήματα, κάτεισι μὲν αὐτὰ, καταβάλλει δὲ καὶ τὴν διάνοιαν, σώμασιν αἰσχρῶς ἐπιφερόμενα· πράγμασιν αἰσθητοῖς f) οὐ νοητοῖς, ἀτελέσιν οὐχ ὁλοκλήροις, ἐφθαρμένοις οὐχὶ τοῖς ζῶσιν· οὐ γὰρ μόνον σώμασιν, ἀλλὰ καὶ σωμάτων τῶν δίχα διαιρεθέντων τμήμασιν, ἐπιφοιτᾷ. Τὰ δ' οὕτως διαιρεθέντα, ἁρμονίαν ἀμήχανον δέξασθαι καὶ ἕνωσιν, τῶν πνευματικῶν τόνων, οἳ συμφυέστατος δεσμὸς ἦσαν, διακοπέντων. Εἰσηγεῖται δὲ γνώμην ἀληθεστάτην, g) διδάσκων, ὅτι δικαιοσύνη μὲν καὶ πᾶσα ἀρετὴ, ψυχῆς, ἀδικία δὲ καὶ πᾶσα κακία σώματος ἐρῶσι· καὶ ὅτι τὰ τῷ ἑτέρῳ φίλα, τῷ ἑτέρῳ πάντως ἐχθρά ἐστι, καθὰ καὶ νῦν. Αἰνιττόμενος γὰρ τοὺς τῆς ψυχῆς h) πολέμους, ὄρνεα εἰσήγαγε γλιχόμενα ἐμπλέκεσθαι καὶ ἐμφύεσθαι i) σώμασι, καὶ σαρκῶν ἐμφορεῖσθαι, ὧν τὰς ἐφόδους καὶ ἐπιδρομὰς ἐπισχεῖν βουληθεὶς ὁ ἀστεῖος, λέγεται αὐτοῖς k) ἐγκαθίσαι, οἷα πρόεδρός τις ἢ πρόβουλος ὤν. Ἐπειδὴ γὰρ καὶ τὰ οἰκεῖα ὑπὸ ἐμφυλίου στάσεως διειστήκει, καὶ τὰ ἐχθρὰ ξίφη διεφέρετο, βουλὴν l) ἀμείνω συναγαγὼν ἐσκόπει περὶ τῶν διαφόρων· ἵνα εἰ δύναιτο, πειθοῖ χρώμενος, καὶ τὸν ξενικὸν

c) MSS. Aug. et Coll. Nou. τὴν ἄρσιν.

d) Sic MSS. pro γὰρ in Edit. (et Cod. A.)

e) Sic MSS. idque recte, ingruentes enim cogitationes auibus volantibus comparat. (Editi et Cod. A. ἐπισπώμενα.)

f) Οὐ νοητοῖς restitui ex MSS. (acc. Cod. A.)

g) MSS. ἀναδιδάσκων.

tes per ignorantiam, quae nihil differunt a volucribus quibusque aues descendentes assimilauit. Cogitationes autem quaecunque superna petunt, meliorem sortiuntur ordinem, virtute comite viam in coelum et diuinas sedes ducentem indicante: quae autem deorsum feruntur, deteriorem occupant, retractae et degrauatae vitiis. Horum locorum contrarietas nonnihil apparet in Graecis eorum nominibus; virtus enim ἀρετὴ non solum παρὰ τὴν αἵρεσιν ab electione nominatur, verum etiam παρὰ τὸ αἱρεσθαι. attollitur enim et in sublime fertur coelestia semper appetens: vitium autem κακία, ἀπὸ κάτω κεχωρηκέναι, et quod deorsum vergat et deditos sibi deprimat. Nam animae notiones infensae inuolantes et irrumpentes, ipsae quidem descendunt, mentem vero degrauant, volutantes se turpiter cum corporibus, rebus sensibilibus et non mente perceptis, imperfectis non integris, non viuis sed mortuis; non solum enim corpora, verum et dimidiatas eorum portiones appetunt. Quae autem sic diuiduntur, coaptari et in vnum redire non possunt, neruis animi, qui horum erant natiui nexus, dissectis. Sententiae autem verissimae fit autor, docens quod omnis virtus animam amat, omne autem vitium corpus: et quod quicquid alteri gratum, alteri exosum est, sicut nunc quoque. Nam animae hostes nobis subindicans aues inducit cupientes corporibus insidere et inhaerescere et satiari carnibus: quarum incursus cohibere volens vir bonus *considere* dicitur, quasi curator et praeses. Cum enim et domi laboretur seditionibus, et foris inuadant hostiles acies, meliore ex omnibus coetu conuocato, deliberauit de aduersariis, vt si quo

h) Melius πολεμίȣς.

i) Sic MSS. Editi et Cod. A. σώματος.

k) Melius συγκαθίσαι. Sic enim textus συνεκάθισεν αὐτοῖς Ἀβραάμ.

l) Sic MSS. Editi ἁπάντων συναγωγόν. (Cod. A. ἁπάντων συναγαγών.)

τὸν πόλεμον καταλῦσαι, καὶ τὴν ἐμφύλιον ταραχὴν m) ἀτέλοι. Τοὺς μὲν γὰρ ὥσπερ νέφος n) ἐπιῤῥάξαντας, ἀκαταλλάκτως ἔχοντας, λυσιτελὲς ἦν ἀποσκεδάσαι, o) τοῖς δὲ τὴν παλαιὰν συγγένειαν οἰκειώσασθαι. Δυσμενεῖς μὲν οὖν ἄσπονδοι καὶ ἀκατάλλακτοι γράφονται ψυχῆς, ἀφροσύναι καὶ ἀκολασίαι, δειλίαι τε καὶ ἀδικίαι, καὶ ὅσαι ἄλλαι p) ἐπὶ πλεοναζούσης ὁρμῆς εἰώθασι φύεσθαι ἄλογοι ἐπιθυμίαι, σκιρτῶσαι καὶ ἀπαυχενίζουσαι, καὶ τὸν εὐθὺν δρόμον τῆς διανοίας ἐπέχουσαι· πολλάκις δὲ καὶ τὸ σύμπαν αὐτῆς q) χῆμα σπαράττουσαί τε καὶ καταβάλλουσαι. Τὰ δὲ τῶν ἐνσπόνδων r) δυνάμεων προσκρούσματα τοιαῦτ᾽ ἐστιν, οἷας εἶναι συμβέβηκε τὰς τῶν σοφιστῶν δογματικὰς ἔριδας. s) ἢ μὲν γὰρ πρὸς ἓν ἀποπνέουσι τέλος t) θεωρίαν τῶν τῆς φύσεως πραγμάτων, λέγοιντ᾽ ἂν εἶναι φίλοι· s) ᾗ δ᾽ οὐχ ὁμογνωμονοῦσιν ἐν ταῖς κατὰ μέρος ζητήσεσιν, ἐμφυλίῳ στάσει χρῆσθαι. Ὥσπερ οἱ ἀγένητον εἶναι λέγοντες τὸ πᾶν, τοῖς γένεσιν εἰσηγουμένοις αὐτοῦ· καὶ πάλιν οἱ φθαρήσεσθαι, τοῖς φθαρτὸν μὲν εἶναι φύσει, μηδέποτε δὲ φθαρησόμενον, διὰ τὸ κραταιοτέρῳ δεσμῷ, τῇ τοῦ πεποιηκότος βουλήσει συνέχεσθαι· καὶ οἱ μηδὲν εἶναι ὁμολογοῦντες ἀλλὰ πάντα γίνεσθαι, τοῖς ὑπολαμβάνουσι τὰ ἐναντία· καὶ οἱ πάντων χρημάτων ἄνθρωπον μέτρον εἶναι διεξιόντες, τοῖς τὰ αἰσθήσεως καὶ τὰ διανοίας κριτήρια u) συγχέουσι· καὶ συνόλως οἱ πάντα ἀκατάληπτα εἰσηγούμενοι, τοῖς γνωρίζεσθαι πάμπολλα φάσκουσι. Καὶ ἥλιος μέντοι

καὶ

m) Cod. A. ἀνελεῖν. P.
n) MS. Coisl. ἐπὶ πάντας.
o) Forsan ἀστοῖς δὲ, *ciuibus*.
p) Forte ἀπό.
q) Forte ὄχημα. Corpus scil. quod animae vehiculum est habitum. Noster Lib. III. Alleg. p. 356. lin. 16.. et p. 228. lin. 18. Tom. I. ed. n. Sic etiam Plato in Timaeo p. 69. ὄχημά τε ἅπαν τὸ σῶμα ἔδοσαν. Vnde idem forte emendandus in Phaedro 253. ὅταν δ᾽ οὖν ὁ ἡνίοχος ἰδὼν τὸ ἐρωτικὸν ὄμμα, ibi repone ὄχημα.

quo modo ſuadendo queat efficere, externum bellum vna cum inteſtinis tumultibus tollat. Opus enim eſt et hoſtes externos implacabiles ceu nubem ingruentes repellere, et domeſticorum priſtinam redintegrare neceſſitudinem. Sunt enim implacabiles hoſtes animae affectus ſtulti et intemperantes, iniuſti et timidi, et quotquot aliae rationis expertes libidines ex impotenti appetitu innaſci ſolitae, petulantes et ceruice iugum iactantes, et rectum mentis curſum inhibentes, totumque eius ſtatum turbantes et deprimentes. Socialium autem copiarum conflictationes tales ſunt, quales lites ſophiſtarum de contentioſis dogmatibus; quatenus enim ad vnum finem tendunt, ſcilicet contemplationem rerum naturalium, haberi poſſunt pro ſociis: quatenus autem in particularibus quaeſtionibus diſſentiunt, ciuilem tumultum excitant. Sicut mundum factum aſſerentibus male conuenit cum id pernegantibus; et rurſus dum alii dicunt eum interiturum, alii vero concedunt quidem eſſe natura corruptibilem, negant tamen vnquam corrumpendum, eo quod valido nexu contineatur, nimirum creatoris voluntate; ſic qui nihil eſſe opinantur ſed omnia fieri, diſſentiunt ab id negantibus; item qui aiunt omnium rerum menſuram hominem, a cohibentibus ſenſuum atque mentis iudicium; et in vniuerſum qui dicunt cuncta incomprehenſibilia, ab his qui aiunt percipi plurima. Siquidem

r) Additur in MSS. εἶναι δοκούντων, quod ſi inſeratur, pro ſequenti δυνάμεων, ſcribe δυσμενέων. (Cod. A. tantum εἶναι inſerit.)

s) Sic MSS. pro εἰ — εἰ in Edit. (et Cod. A.) Ibid. pro ἀποπνέουσι reponendum videtur ἀπονεύουσι.

t) Sic MSS. (et Cod. A.) Edit. θεωρίας.

u) Heſych. v. κατέχειν· κρατεῖν, κωλύειν, συνέχειν. Vel forte ἐπέχουσι. Sic enim Laertius Lib. IX. p. 107. Sext. Empiric. Hypotyp. I. c. 12.

καὶ σελήνη, καὶ ὁ σύμπας οὐρανὸς, γῆ τε καὶ ἀὴρ, καὶ ὕδωρ, τά τε ἐπ' αὐτῶν πάντα, τοῖς σκεπτικοῖς ἔριδας καὶ φιλονεικίας παρεσχήκασιν, οὐσίας καὶ ποιότητας, μεταβολάς τε αὖ καὶ τροπὰς, καὶ γενέσεις ἔτι τε καὶ φθορὰς αὐτῶν ἀναζητοῦσιν· μεγέθους τε πέρι καὶ κινήσεως τῶν κατ' οὐρανὸν, οὐ πάρεργον ποιούμενοι τὴν ἔρευναν, ἑτεροδοξοῦσιν οὐ συμφερόμενοι, μέχρις ἂν μαιευτικός x) τις ἀνὴρ ὁμοῦ καὶ δικαστικὸς συγκαθίσας, θεάσηται τὰ τῆς ἑκάστου γεννήματα ψυχῆς, καὶ τὰ μὲν οὐκ ἄξια τροφῆς ἀποῤῥίψῃ, τὰ δὲ ἐπιτήδεια διασώσῃ καὶ προνοίας τῆς ἁρμοττούσης ἀξιώσῃ. Τὰ δὲ κατὰ φιλοσοφίαν μεστὰ διαφωνίας γέγονε, τὸν πιθανὸν καὶ y) στοχαστικὸν νοῦν τῆς ἀληθείας ἀποδιδρασκούσης· z) τὸ γὰρ δυσεύρετον καὶ δυσθήρατον αὐτῆς, ὥς γε οἶμαι, στάσεις ἐγέννησε.

a) Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἔπεσε ἐπὶ Ἀβραὰμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ. b) Ἔκστασις, ἡ μέν ἐστι λύττα μανιώδης c) παράνοιαν ἐμποιοῦσα, κατὰ γῆρας, ἢ μελαγχολίαν, ἤ τινα ὁμοιότροπον ἄλλην αἰτίαν· ἡ δὲ σφοδρὰ κατάπληξις ἐπὶ τοῖς ἐξαπιναίως καὶ ἀπροσδοκήτως συμβαίνειν εἰωθόσιν· ἡ δὲ ἠρεμία διανοίας, ἐπειδὴ πέφυκέ d) ποτε ἡσυχάζειν· ἡ δὲ πασῶν ἀρίστη, ἔνθεος e) κατοχωτική τε μανία, ᾗ τὸ προφητικὸν γένος χρῆται. Τῆς μὲν οὖν πρώτης, ἐν ταῖς ἐπινομίδι γραφείσαις ἀραῖς διαμέμνηται, f) παραπληξίαν γάρ φησιν, καὶ ἀορασίαν καὶ ἔκστασιν διανοίας καταλήψεσθαι τοὺς ἀσεβοῦντας, ὡς μηδὲν διοίσειν τυφλῶν ἐν μεσημβρίᾳ, καθάπερ ἐν βαθεῖ σκότῳ ψηλαφώντων. Τῆς

δὲ

x) Τις restitui ex MSS. Coisl. et Coll. Nou. (Cod. A. deest.)

y) Sic MSS. (et Cod. A.) pro στοχαστὸν.

z) Sic MSS. Editi καὶ τὸ δυσεύρετον. (Cod. A. et γὰρ et καὶ deest.)

a) Gen. XV, 12.

b) Origen. in Num. hom. XXVII. „Non possumus in latina

lingua

dem ſol, luna, coelum, terra, aër, aqua, et quae his continentur omnia, ſcepticis negotium et contentionum materiam exhibent: eſſentias, qualitates, mutationes, verſiones, generationes corruptionesque eorum in disquiſitionem vocantibus. Quin et de motu magnitudineque rerum coeleſtium non obiter quaerentes, in varias abeunt ſententias, non conuenturi, donec aliquis obſtetricandi et iudicandi ſcientia praeditus vir in conſeſſum eorum adhibitus, ſingulorum partus animae inſpiciat, et alios vt indignos educatione proiiciat, alios vt probatos conſeruet et debita dignetur cura. Hae autem philoſophorum controuerſiae natae ſunt dum veritas probabiles animi coniecturas fugit: etenim inueſtigandi difficultas generat diſſidia.

*Cumque ſol occideret, exceſſus irruit ſuper Abraham, et horror magnus ac tenebroſus inuaſit eum.* Exceſſus alius eſt inſanus et faciens delirum, prae ſenio, bile atra, aut ob aliam cauſam ſimilem, alius fit ex vehementi conſternatione ob nec opinatum pauorem ac repentinum: alius eſt mentis quies ſiquidem aliquando ſolet otiari; ſed longe optimus eſt furor diuinus et vehementior, quali corripitur propheticum genus. Primae ſpeciei mentio fit in maledictionibus ſcriptis in Deuteronomio: *Deliratio*, inquit, *caecitas, et exceſſus mentis corripiet impios,* vt nihil differant a caecis meridie palpantibus tanquam in denſis tenebris. Secundae vero fit mentio paſſim; *Correptus*, inquit, *Iſaac ſtupore magno dixit: quis*

lingua vno ſermone exprimere verbum graecum quod illi ἔκστασιν vocant." Hinc forte emendandum illud Dan. VII, 15. et pro ἕξις ſcribendum ἐκστάσεις.

c) In MSS. ſequitur καί.

d) Ποτε inſerui ex MSS. Aug. et Coisl.

e) Vid. Platonem in Ione p. 536. et in Phaedro p. 244.

f) Deutr. XXVIII, 28.

δὲ δευτέρας πολλαχοῦ. Ἐξέστη γάρ, g) φησιν, Ἰσαὰκ ἔκστασιν μεγάλην, καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ ἐνεγκάν μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν, καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔσται. Καὶ ἐπὶ τοῦ Ἰακὼβ h) ἀπιστοῦντος τοῖς λέγουσιν, ὅτι ζῇ Ἰωσὴφ καὶ ἄρχει πάσης γῆς Αἰγύπτου. Ἐξέστη γάρ, φησι, τῇ διανοίᾳ, οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. Καὶ ἐν Ἐξόδῳ i) κατὰ τὴν ἐκκλησίαν. Τὸ γὰρ ὄρος, φησὶ, τὸ Σινᾶ ἐκαπνίζετο πᾶν αὐτὸ, διὰ τὸ καταβεβηκέναι τὸν θεὸν ἐπ' k) αὐτὸ ἐν πυρί· καὶ ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ ἀτμὶς καμίνου, καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. Καὶ ἐν τῷ Λευιτικῷ, l) κατὰ τὴν τῶν ἱερέων τελείωσιν, ἡμέρᾳ τῇ ὀγδόῃ, ὁπότε ἐξῆλθε πῦρ ἀπ' οὐρανοῦ, καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ m) στέατα· λέγεται γὰρ εὐθὺς, Καὶ εἶδε πᾶς ὁ λαὸς, καὶ ἐξέστη, καὶ ἔπεσεν ἐπὶ πρόσωπον· ἡ γὰρ τοιαύτη n) ἔκπληξις, πτόησιν καὶ κατάπληξιν ἐμποιεῖ. o) Ἀλλ' οὐκ ἄξιον θαυμάσαι καὶ ἐπὶ p) τοῦ Ἡσαῦ, ὅτι εἰδὼς κυνηγεῖν, ἀεὶ θηρεύεται, καὶ πτερνίζεται, τὴν τέχνην ἐπὶ βλάβῃ κτησάμενος οὐκ ὠφελείᾳ, θηρεύειν δὲ οὐδέποτε ἐσπούδασε, καὶ ἐπὶ q) τοῦ Ἰακὼβ, ὅτι θηρεύει μὴ μαθὼν, ἀλλὰ φύσει κινούμενος, r) τὸ πάθος, καὶ φέρει τῷ δοκιμαστῇ, ὃς εἰ δόκιμόν ἐστι, διαγνώσεται· s) διὸ ἀπὸ πάντων φάγεται. Πάντα γὰρ τὰ τῆς ἀσκήσεως ἐδώδιμα καθέστηκεν, ἡ ζήτησις, ἡ σκέψις, ἡ ἀκρόασις, ἡ ἀνάγνωσις, ἡ t) προσευχὴ, ἡ ἐγκράτεια, ἡ ἐξαδιαφόρησις τῶν ἀδιαφόρων· ἀπὸ πάντων δὲ τὰς ἀπαρχὰς δήπουθεν ἔφαγεν, ἀλλ' οὐ πάντα· δεῖ γὰρ ὑπολείπεσθαι καὶ τῷ ἀσκητῇ τροφὰς οἰκείας,

g) Gen. XXVII, 33.
h) Gen. XLV, 26.
i) Exod. XIX, 18.
k) Cod. A. αὐτῶν.
l) Leu. IX, 1.
m) Sic pro στέμματα MSS. Coisl. Aug. et Trin. Textus quoque S. (et Cod. A.)
n) Melius vt videtur ἔκστασις.

*quis igitur venationem mihi obtulit, et gustaui de omnibus quae oblata fuerunt priusquam venires, et benedixi eum, eritque benedictus.* Item de Iacob non credente nunciantibus: *Iosephum viuere Aegypto vniuersae praepositum: Excessit*, inquit, *mente: non credebat enim eis.* Et in Exodo in illa concione: *Mons*, inquit, *Sina fumabat totus, quia descenderat in eum Deus in igne: et ascendebat fumus vt vapor fornacis, et obstupuit totus populus vehementer.* Item in Leuitico in consecratione sacerdotum octauo die, quando descendit ignis de coelo et depastus est quae altari fuerant imposita, vna cum adipe totas victimas: nam hic quoque scriptum est: *Et vidit vniuersus populus et obstupuit ceciditque pronus in faciem.* Talis enim excessus pauorem ac stuporem inducit. Sed annon admiratione dignum est illud de Esau dictum, quod peritus venandi saepius praeda ipse fit et supplantatur? quippe qui artem hanc in damnum suum, non ad vtilitatem accepit, non magna cura vsus in venando vt caperet aliquid; vt etiam de Iacob, quod captat affectum, natura magis adiutus quam peritia, et eum offert examinatori, vt an probus sit iudicet; *ideo de omnibus gustat.* Quicquid enim ad meditationem pertinet saluber est cibus: inquisitio, disceptatio, auscultatio, lectio, *attentio*, tolerantia, indifferentium rerum contemtus; degustat autem omnia, non comedit: oportet enim et meditatori aliquid cibi relinqui ope-

o) Haec vsque ad Καὶ τ᾽ ἄλλα ἄν τις, omnino prorsus aliena sunt ab Auctoris argumento, videnturque aliunde irrepsisse.

p) Sic MSS. Coisl. et Coll. Nou. (acc. Cod. A.) Editi τῷ.

q) Cod. A. et Editi τῷ. P.

r) Scribe verbis transpositis, καὶ τὸ πάθος.

s) Gen. XXVII, 33.

t) Melius προσοχή.

κείας, u) ὡς ἆθλα. Πρὸ τοῦ σε ἐλθεῖν· φυσικῶς. Ἐὰν γὰρ x) τὸ πάθος εἰσίῃ εἰς τὴν ψυχὴν, οὐκ y) ἀπολαύσομεν ἐγκρατείας· ἐλέγχει δὲ καὶ τὸν φαῦλον, ὡς βραδὺν καὶ ὀκνηρὸν, καὶ μελλητὴν πρὸς τὰ παιδείας ἔργα, ἀλλ᾽ οὐ πρὸς τὰ ἀκολασίας. Ἐργοδιώκτας οὖν z) Αἰγύπτιος ἔχει πρὸς τὴν τῶν παθῶν ἐπισπεύδοντας ἀπόλαυσιν· Μωϋσῆς δ᾽ ἔμπαλιν μετὰ σπουδῆς παραγγέλλει τὸ πάσχα ἐσθίειν, καὶ τὴν ἀπὸ τούτων διάβασιν εὐωχεῖσθαι. Καὶ ὁ Ἰούδας φησὶν, a) Εἰ μὴ γὰρ ἐμελλήσαμεν, ἤδη ἂν ὑπεστρέψαμεν, b) καὶ κατέβημεν εἰς Αἴγυπτον· δὶς οὖν φησιν ἀλλ᾽ ἐκεῖθεν ἐπανεσώθημεν. Εἰκότως καὶ Ἰακὼβ τεθαύμακεν, εἰ ἔτι ἐν σώματι ὁ νοῦς, ὁ Ἰωσὴφ, ζῇ πρὸς ἀρετὴν, καὶ ἄρχει τοῦ σώματος, ἀλλ᾽ οὐκ ἄρχεται πρὸς αὐτοῦ. Καὶ τἄλλα ἄν τις ἐπιὼν ὑποδείγματ᾽, ἀληθὲς ἰχνεύειν δυνηθείη· πρόκειται δὲ νῦν οὐ περὶ τούτων ἀκριβολογεῖσθαι, διὸ ἐπὶ τὰ ἐξ ἀρχῆς τρεπτέον. Τῆς δὲ τρίτης ἐννοίας, τὰ περὶ τὴν τῆς γυναικὸς γένεσιν φιλοσοφεῖ. c) Ἐπέβαλε γὰρ ὁ θεὸς, φησιν, ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσεν· ἔκστασιν τὴν ἠρεμίαν καὶ ἡσυχίαν τοῦ νοῦ παραλαμβάνων. Ὕπνος γὰρ νοῦ, γρήγορσίς ἐστιν αἰσθήσεως, καὶ γὰρ αἱ cc) γρηγόρσεις τῆς διανοίας, αἰσθήσεως ἀπραξία.

¶ Τῆς δὲ τετάρτης, ὃ νῦν σκοποῦμεν· d) Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν ἐπὶ e) τὸν Ἀβραὰμ, ἐνθουσιῶντος καὶ θεοφορήτου τὸ πάθος. Ἀλλ᾽ οὐχὶ τοῦτο μόνον, f) ἀλλὰ συνίστησιν αὐτὸν προφήτην, ἀλλὰ καὶ γράμμα ῥητὸν ἐστηλιτευμένον ἱεραῖς βίβλοις· ἡνίκα τις ἐπιχειρήσει τὴν

u) Ὡς inserui ex MSS. (Cod. A. deest.)

x) Cod. A. ἔλθῃ τὸ πάθος εἰς &c. P.

y) Forsan ἀπολαύσομαι.

z) Forte melius Αἴγυπτος (sicque Cod. A.)

a) Gen. XLIII, 10.

b) In textu f. additur δὶς. Sic vero totam sententiam restituerem: ὑπεστρέψαμεν ἂν δὶς· καὶ κατέβημεν εἰς Αἴγυπτον, καὶ ἐκεῖθεν ἐπανεσώθημεν. Markland sic reposuit: Αἴγυπτον. (σῶμά φησιν) ἀλλ᾽, &c.

operae praemium. *Priusquam venires;* apte pro rei natura. Nam si affectus intrarit in animam, non fruemur temperantia: simulque arguitur malus vt cunctator et piger, tardus ad disciplinam non ad intemperantiam. Exactores operum ergo habet Aegyptus ad fruitionem affectuum accelerantes; at Moses longe aliter iubet propere absumi pascha et migrationem ab his epulis celebrari. Iudas etiam inquit: *Nisi procrastinassemus, iam reuersi descendissemus in Aegyptum: imo iam domum rediissemus iterum.* Et hoc est, quod Iacob miratur, si Iosephus, sc. mens adhuc in corpore constituta, viuit virtuti, et imperat corpori, non eius imperata facit. Possent et alia exempla proferri ad confirmandam rei veritatem, sed non hoc nunc agitur, ideo redeundum est a diuerticulo. Tertium *excessus mentis* sensum videre licet in creatione mulieris: *Immisit Deus ecstasim in Adam et sopiuit eum:* vbi excessus pro quiete mentis ac tranquillitate accipitur. Somnus enim mentis est vigilia sensuum, siquidem et vigilia mentis est sensuum otium.

Quartae vero ecstasis exemplum est quod nunc versamus in manibus: *Et cum occidisset sol, ecstasis incubuit in Abraham,* correptus numine afflatuque affectus. Neque hoc solum ostendit eum prophetam fuisse, verum etiam historiae sensus litteralis in sacris

 libris

c) Gen. II, 21.

cc) Cod. A. ἐγρηγόρσεως. P.

d) Gen. XV, 12.

e) Cod. A. τῷ. P.

f) Ἀλλὰ dele, omnino redundat. Markland sic locum emendat: οὐκ ἐν τούτῳ μόνον — — ἀλλαχῆ δὲ γράμμα, &c. *Non in hoc solum — verum et alibi scriptura &c.*

τὴν ἐκ φύσεως ἀρετὴν, Σάῤῥαν αὐτοῦ διοικίζειν, ὡς οὐκ ἴδιον σοφοῦ καὶ g) μόνου κτῆμα, ἀλλὰ παντὸς τοῦ φρόνησιν ἐπιμορφάζοντος· h) Ἀπόδος γάρ, φησι, τῷ ἀνθρώπῳ τὴν γυναῖκα, ὅτι προφήτης ἐςὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις. Καὶ παντὶ δὲ ἀνθρώπῳ ἀςείῳ ὁ ἱερὸς B λόγος προφητείαν μαρτυρεῖ· προφήτης γὰρ i) ἴδιον μὲν οὐδὲν ἀποφθέγγεται, ἀλλότρια δὲ πάντα ὑπηχοῦντος ἑτέρου. Φαύλῳ δ' οὐ θέμις ἑρμηνεῖ γενέσθαι θεοῦ, ὥςε κυρίως μοχθηρὸς οὐδεὶς ἐνθουσιᾷ, μόνῳ δὲ σοφῷ ταῦτ' ἐφαρμόττει, ἐπεὶ καὶ μόνος ὄργανον k) θεοῦ ἐςιν ἠχοῦν, κρουόμενον καὶ πληττόμενον ἀοράτως ὑπ' αὐτοῦ. Πάντας γοῦν ὁπόσους ἀνέγραψε δικαίους, κατεχομένους καὶ προφητεύοντας εἰσήγαγε· Νῶε δίκαιος, l) ἆρ' οὐ καὶ προφήτης εὐθύς; ἢ τὰς εὐχὰς καὶ κατάρας ἃς ἐπὶ ταῖς αὖθις γενεαῖς ἐποιήσατο, ἔργων ἀληθείᾳ βεβαιωθείσας, οὐ κατεχόμενος ἐθέσπισε; Τί δὲ Ἰσαάκ; τί δὲ Ἰακώβ; καὶ γὰρ οὗτοι, διά τε πολλῶν ἄλλων καὶ μάλιςα διὰ τῶν εἰς τοὺς ἐγγόνους m) προσρήσεων ὁμολογοῦνται προφητεῦσαι. Τὸ γάρ, Συλλέγητε, ἵνα n) ἀναγγέλλω τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἐνθουσιῶντος ἦν· ἡ γὰρ τῶν μελλόντων κατάληψις ἀνοίκειος ἀνθρώπῳ. Τί δὲ Μωσῆς; οὐ προφήτης ᾄδεται πανταχοῦ; Λέγει γάρ, o) Ἐὰν γένηται ὑμῶν προφήτης κυρίου, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, Μωσῇ δὲ, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων. Καὶ πάλιν, p) Οὐκ ἀνέςη ἔτι προφήτης ὡς Μωϋσῆς, ὃν ἔγνω

αὐτὸν

g) Ita MSS. Coll. Nou. pro μόνον in Edit. (et Cod. A.) Ibid. καὶ videtur redundare.

h) Gen. XX, 7.

i) Eandem ſententiam alibi docet Noſter L. I. de Monarch. p. 820. Similiter Plato in Timaeo p. 71. Non multum a Philone diſcrepat D. Petrus 2. ep. I, 20. vbi ἐπιλύσεως non de interpretatione, vt vulgo, ſed de motu et ſuggeſtione eſt exponendum ob ſequentia. Nonnullis viſum ſcribi debere ἐπηλύσεως, idque forſan recte. vid. Hes. voc. ἐπήλυσις. (Merito reiiciunt interpretes epiſtolae Petrinae

libris conseruatus, diserte id docet. Cum quidam Sarram, sc. virtutem ex natura, ab illo diuellere studeret, quasi non solius sapientis propriam, sed cuiusuis simulatoris prudentiae: *Redde*, inquit, *homini suam vxorem, quia propheta est, et orabit pro te, et viues*. Quin et omnibus probis viris sacra scriptura prophetiam tribuit: nam propheta, nihil ex se proloquitur, sed aliena omnia, submonente alio. Malum autem virum non est fas esse interpretem numinis; ergo nemo malus proprie correptus furore diuino ducitur, sed in solum sapientem hoc competit: quandoquidem is solus est Dei vocis organum, ab eo contactum et pulsatum inuisibiliter. Proinde quotquot inter iustos censentur, inducuntur prophetantes et afflati numine; Noe iustus nonne prophetat etiam? an benedictiones eius maledictionesque rerum veritate comprobatas, sine numine praedixit? Quid Isaac? quid Iacob? et hos multis argumentis, praecipue vaticiniis quae cecinerunt de suis posteris, prophetas fuisse credimus. Nam illud, *Congregamini vt annunciem vobis quae ventura sint vobis in diebus nouissimis*, diuinantis erat dictum: siquidem futurorum cognitio non est hominis propria. Quid Moses? nonne vbique propheta celebratur? Scribitur enim: *Si fuerit vobis propheta Domini, per visionem ei me manifestabo: Mosi autem*

 palam,

trinae hanc mutationem; melioremque ex LXX. et hebraicis commendant explicationem. Sed his non est hic locus. P.)

k) MSS. ἠχῆς ἐςι θεȣ̃.

l) Cod. A. ἃ οὖν καί. P.

m) Omnino scribe προῤῥήσεων.

n) MSS. Aug. et Coll. Nou. (it. Cod. A.) ἀναγγελῶ. Textus Gen. XLIX, 2. ἀναγγείλω.

o) Num. XII, 5.

p) Deutr. XXXIV, 10.

αὐτὸν κύριος πρόσωπον πρὸς πρόσωπον. Παγκάλως δ' ἐν τὸν ἐνθεσιῶντα q) μηνύει Φάσκων, περὶ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν. Ἥλιον δὲ διὰ συμβόλου τὸν ἡμέτερον νοῦν καλεῖ· ὅπερ γὰρ ἐν ἡμῖν λογισμὸς, τοῦτο ἐν κόσμῳ ἥλιος· ἐπειδὴ Φωσφορεῖ ἑκάτερος, ὁ μὲν τῷ παντὶ Φέγγος αἰσθητὸν ἐκπέμπων, ὁ δὲ ἡμῖν αὐτοῖς τὰς νοητὰς διὰ τῶν καταλήψεων αὐγάς. Ἕως μὲν r) οὖν ἔτι περιλάμπει καὶ περιπολεῖ ἡμῶν ὁ νοῦς, μεσημβρινὸν οἷα Φέγγος εἰς πᾶσαν τὴν ψυχὴν ἀναχέων, ἐν ἑαυτοῖς ὄντες, οὐ κατεχόμεθα· ἐπειδὰν δὲ πρὸς δυσμὰς γένηται κατὰ τὸ εἰκὸς ἔκστασις s) ἡ ἔνθεος ἐπιπίπτει t) κατοχωτική τε καὶ μανία. Ὅτε μὲν γὰρ Φῶς ἐπιλάμψει τὸ θεῖον, δύεται τὸ ἀνθρώπινον, ὅτε δ' ἐκεῖνο δύει, τοῦτ' ἀνίσχει καὶ ἀνατέλλει. Τῷ δὲ προΦητικῷ γένει Φιλεῖ τοῦτο συμβαίνειν· ἐξοικίζεται μὲν γὰρ ἐν ἡμῖν ὁ νοῦς, κατὰ τὴν τοῦ θείου πνεύματος ἄΦιξιν, κατὰ δὲ τὴν μετανάστασιν αὐτοῦ, πάλιν εἰσοικίζεται. Θέμις γὰρ οὐκ ἔστι θνητὸν ἀθανάτῳ συνοικῆσαι· διὰ τοῦτο ἡ δύσις τοῦ λογισμοῦ καὶ τὸ περὶ αὐτὸν σκότος, ἔκστασιν καὶ θεοΦόρητον μανίαν ἐγέννησε. Τὸ δὲ ἀκόλουθον προσυΦαίνει τῇ γραΦῇ, Φάσκων, Ἐρρέθη πρὸς Ἀβραάμ· u) ὄντως γὰρ ὁ προΦήτης καὶ ὁπότε x) λέγειν δοκεῖ, πρὸς ἀλήθειαν ἡσυχάζει· καταχρῆται δὲ ἕτερος αὐτοῦ τοῖς Φωνητηρίοις ὀργάνοις, στόματι καὶ γλώττῃ, πρὸς μήνυσιν ὧν ἂν θέλῃ. Τέχνῃ δ' ἀοράτῳ καὶ παμμούσῳ ταῦτα κρούων, εὔηχα καὶ παναρμόνια καὶ γέμοντα συμΦωνίας τῆς πάσης ἀποτελεῖ.

Τίνα δ' ἐστὶν ἃ y) ἐρρήθη προθεσπισθέντα, καλὸν ἀκοῦσαι· πρῶτον μὲν, ὅτι τῷ Φιλαρέτῳ z) κατοικεῖν οὐ δίδωσιν ὁ θεὸς, ὡς ἐν οἰκείᾳ γῇ, τῷ σώματι, ἀλλὰ παροικεῖν

q) Haec omnia vsque ad καλεῖ, restitui fide MSS. Aug. Coisl. et Coll. Nou. (acc. Cod. A. qui tamen ἔπεσεν in sequentibus habet, δὲ omittit, et καλῶν scribit.)

r) Οὖν inserui ex MSS. (acc. Cod. A.)

s) Sequebatur καὶ in Editis (et Cod. A.) quod expunxi fide MSS.

palam, non per aenigmata. Et rurſum: *nullus propheta qualis Moſes exortus eſt, quem alloquutus eſt Dominus facie ad faciem.* Satis recte igitur afflatum numine ſignificat, dicendo *circa ſolis occaſum ecſtaſis incidit.* Solis autem nomine mentem ſignificat: quod enim in nobis eſt ratio, hoc in mundo ſol: quia lucent ambo, alter mundo praebens lucem ſenſibilem, altera nobis lucem ex mentis perceptionibus. Donec igitur mens noſtra lucet, velut meridianum ſplendorem diffundens per totam animam, noſtri iam compotes, non corripimur; caeterum illa vergente ad occaſum, merito ecſtaſis diuina ingruit et furor propheticus. Exoriente enim diuino lumine humanum occidit, ac rurſum occidente illo hoc exoritur; hoc vero ſolet accidere prophetico generi; emigrat enim e nobis mens, immigrante diuino ſpiritu, quo recedente illa rurſum reuertitur. Non eſt enim fas vt mortalis cum immortali habitet: ideo rationis occaſus et offuſae ipſi tenebrae exceſſum et diuinum furorem inducunt. Deinde pergit ſcriptura: *et dictum eſt ad Abraham.* Certe enim propheta cum loqui videtur, reuera ſilet, alius autem eius vocalibus inſtrumentis, ore linguaque, vtitur ad indicanda quaecunque vult: quae pulſans ille arte muſica inuiſibiliter, ſonoram concinnamque ſymphoniam efficit.

Audiamus igitur quid praenunciet oraculum: ante omnia quod amatori virtutis non concedit Deus, vt tanquam in terra propria habitet in corpore, ſed inqui-



t) Melius κατοχή.
u) Sic MSS. (et Cod. A.) pro οὕτως.
x) Sic MSS. (et Cod. A.) Editi λέγει — — ἡσυχάζειν
y) Editi et Cod. A. ἐῤῥέθη. P.
z) Vid. ſupra de Agricult. p. 28. Tom. III. ed. n. Ambroſ. de Vit. Abr. L. II. c. 9. conf. Ebr. XI, 9.

κεῖν ὡς ἐν ἀλλοδαπῇ μόνον ἐπιτρέπει χώρᾳ. a) Γινώσκων γὰρ, φησι, γνώσῃ, ὅτι πάροικον ἔςαι τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· παντὸς δὲ φαύλου συγγενὲς τὸ σώματος χωρίον, ἐν ᾧ μελετᾷ κατοικεῖν, οὐ παροικεῖν. Ἓν μὲν δὴ παίδευμα τοῦτο· ἕτερον δὲ, ὅτι δουλείαν καὶ κάκωσιν καὶ δεινὴν, ὡς αὐτὸς ἔφη, ταπείνωσιν ἐπάγοντα τῇ ψυχῇ, τὰ κατὰ γῆν ἐςιν οἰκίδια. Νόθα γὰρ καὶ ξένα διανοίας τὰ σώματος ὡς ἀληθῶς πάθη, σαρκὸς ἐκπεφυκότα, ᾗ προσερρίζωνται. Τετρακόσια δὲ ἔτη γίνεται ἡ δουλεία, κατὰ τὰς τῶν τεσσάρων παθῶν δυνάμεις. Ἀρχούσης μὲν γὰρ ἡδονῆς, μετεωρίζεται καὶ φυσᾶται τὸ φρόνημα, χαύνῳ κουφότητι ἐξαιρόμενον· ὅταν δὲ ἐπιθυμία κρατήσῃ, ἔρως ἐγγίνεται τῶν b) ἀπόντων, καὶ τὴν ψυχὴν ὥσπερ ἀπ' ἀγχόνης ἐλπίδος ἀτελοῦς ἐκρέμασε. Διψᾷ μὲν γὰρ ἀεὶ, πιεῖν δὲ ἀδυνατεῖ, ταντάλειον τιμωρίαν ὑπομένουσα. Κατὰ δὲ τὴν τῆς λύπης δυναςείαν συνάγεται καὶ c) συς έλλεται, φυλλοῤῥοούντων καὶ ἀφαυαινομένων τρόπῳ δένδρων· τὸ γὰρ εὐθαλὲς αὐτῆς καὶ πῖον ἰσχναίνεται· φόβου γε μὴν τυραννήσαντος, οὐδεὶς ἔτι μένειν ἀξιοῖ, δραςμῷ δὲ καὶ φυγῇ χρῆται, μόνως ἂν οὕτως σωθήσεσθαι προσδοκῶν. Ἐπιθυμία μὲν γὰρ ὁλκὸν ἔχουσα δύναμιν, κἂν φεύγῃ τὸ ποθούμενον διώκειν ἀναγκάζει· φόβος δ' ἔμπαλιν, ἀλλοτριότητα ἐμποιῶν, διοικίζει, καὶ μακρὰν τοῦ φαινομένου διίςησιν. Αἱ δὲ τῶν λεχθέντων ἡγεμονίαι παθῶν, βαρεῖαν τοῖς ἀρχομένοις ἐπάγουσι δουλείαν, ἄχρις ἂν ὁ βραβευτὴς καὶ δικαςὴς θεὸς διακρίνῃ τὸ κακούμενον ἀπὸ τοῦ κακοῦντος, καὶ τὸ μὲν εἰς ἐλευθερίαν ἐξέληται παντελῆ, τῷ δὲ τἀπίχειρα ὧν ἐξήμαρτεν, ἀποδῷ. Λέγεται γὰρ, d) Τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. Ἀνάγκη γὰρ θνητὸν ὄντα τῷ τῶν παθῶν ἔθνει e) πιεσθῆναι, καὶ τὰς οἰκείας τὸν γεννώμενον κῆρας ἀναδέξασθαι· βούλημα δὲ θεοῦ, τὰ σύμφυτα κακὰ

a) Gen. XV, 13.

b) MSS. Aug. et Coisl. ἀπάντων. Sed placet lectio recepta. Vid. infra p. 737.

quilinum agat in eo tanquam alienigena. *Certo sciaſ,* inquit, *quod ſemen tuum inquilinum erit in terra aliena.* Omnis autem mali viri cognatus locus corpus eſt, in quo habitare mauult quam inquilinum agere. Hoc vnum documentum eſt: alterum vero, quod ſeruitutem et grauem afflictionem, atque vt ipſe vocat humiliationem inferant animae terrena iſta habitacula. Sunt enim externae et vere alienae a mente affectiones corporis, e carne natae in qua radicantur. Fit autem quadringentorum annorum ſeruitus iuxta quatuor affectionum potentias. Imperante enim voluptate, animus inflatur ac erigitur, elatus inani leuitate; ſed creſcente cupiditate naſcitur abſentium rerum deſiderium, pendentem ab incerta ſpe quaſi reſte excrucians animam. Sitit enim ſemper, nec vnquam poteſt bibere, Tantalium luens ſupplicium. Quoties autem dolor praeualet, contrahitur et coarctatur anima, more arborum marceſcentium et frondes amittentium, decreſcente vigore eius et pinguedine. At pauore tyrannidem adepto, iam nemo audet manere, omnes de fuga cogitant, et in hac ſola ſalutem collocant. Cupiditas enim vim habens attractoriam, vel fugientem rem exoptatam ſequi cogit. Contra timor alienans diſſociat et a re formidata longiſſime removet. Quorum affectuum dominatio grauem ſeruitutem affert ſubditis, donec Deus praeſes et iudex afflictum ex affligentis poteſtate eripiat, alterum reſtituens libertati priſtinae, alteri vero mercedem peccatorum perſoluens. Sequitur enim: *Gentem autem cui ſeruient ego iudicaturus ſum, et poſt haec egredientur cum magna ſubſtantia.* Neceſſum eſt enim vt mortalis homo prematur ab affectuum turba, et vt quicquid natum eſt expectet ſortem ſibi congruam, ſed Dei voluntas co-

 gnatas

c) Editi *συλλέγεται.* P.
d) Gen. XV, 14.
e) Melius forte *πιεσθῆναι.*

κακὰ τοῦ γένους ἡμῶν ἐπικουφίζειν· ὥστε κἂν ἡμεῖς ἐν ἀρχῇ τὰ οἰκεῖα f) πεισόμεθα, ὠμῶν γενόμενοι δεσποτῶν δοῦλοι, καὶ ὁ Θεὸς τὸ οἰκεῖον g) ἐργάσεται ἑαυτῷ, ἄφεσιν καὶ ἐλευθερίαν ταῖς ἱκέτισιν αὐτοῦ ψυχαῖς προκηρύξας· οὐ μόνον λύσιν δεσμῶν καὶ ἔξοδον ἐκ τῆς περιφρουρουμένης εἱρκτῆς παρασχόμενος, ἀλλὰ καὶ ἐφόδια δοὺς, ἅπερ ἀποσκευὴν ἐκάλεσε. Τί δὲ τοῦτ' ἐστιν; ἐπειδὰν ἄνωθεν ἀπ' οὐρανοῦ καταβὰς ὁ νοῦς ἐνδεθῇ ταῖς σώματος ἀνάγκαις, εἶτα ὑπὸ μηδεμιᾶς δελεασθεὶς οἷα ἀνδρόγυνος ἢ γύνανδρος, τὰ ἡδὲ ἀσπάσηται κακά· μείνας δὲ ἐπὶ τῆς ἑαυτοῦ φύσεως, ἀνὴρ ὄντως h) τραχηλίζων, ἢ τραχηλίζεσθαι δύναται, τοῖς τῆς ἐγκυκλίου μουσικῆς i) ἐγγραφεὶς ἅπασιν, ἐξ ὧν θεωρίας λαβὼν ἵμερον, ἐγκράτειαν καὶ καρτερίαν ἐῤῥωμένας ἀρετὰς ἐκτήσατο, μετανιστάμενος, καὶ κάθοδον τὴν εἰς πατρίδα εὑρισκόμενος, πάντ' k) ἐπάγεται τὰ παιδείας, l) ἅπερ ἀποσκευὴ καλεῖται.

Τοσαῦτα καὶ περὶ τούτων εἰπὼν, ἐπιλέγει, m) Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, μετ' εἰρήνης τραφεὶς ἐν n) γήρᾳ καλῷ. Οὐκοῦν οἱ μὲν ἀτελεῖς καὶ πολεμούμεθα, καὶ δουλεύομεν, καὶ μόλις ἀπαλλαγὴν τῶν ἐπικρεμασθέντων φοβερῶν εὑρίσκομεν· τὸ δὲ τέλειον γένος, ἀδούλωτον, ἀπολέμητον, εἰρήνῃ καὶ ἐλευθερίᾳ βεβαιοτάτῃ ἐντρεφόμενον. Δογματικῶς δὲ τὸν ἀστεῖον οὐκ ἀποθνήσκοντα, ἀλλ' ἀπερχόμενον εἰσήγαγεν, ἵν' ἄσβεστον καὶ ἀθάνατον τὸ τῆς κεκαθαρμένης ἄκρως ψυχῆς o) ἀποφανῇ γένος, ἀποδημίᾳ τῇ ἐνθένδε πρὸς οὐρανὸν χρησάμενον, οὐ διαλύσει καὶ φθορᾷ, ἣν ἐπάγειν θάνατος δοκεῖ. Μετὰ δὲ τὸ, Ἀπελεύσῃ, γέγραπται τὸ, Πρὸς τοὺς πατέρας

f) Ita MSS. Aug. Coisl. et Coll. Nou. Editi (et Cod. A.) πεισθησόμεθα ἡμῶν γενόμ.

g) Ita MSS. pro ἐργάσηται in Edit. (et Cod. A.)

h) Scribe τραχηλίζειν μᾶλλον ἢ τραχηλίζεσθαι.

i) Melius ἐντραφεὶς, ſicque Benzelio viſum. Ibid. pro ἅπασι mallem reponere προπαιδεύμασι.

gnatas nobis calamitates ſubleuat. Itaque ſi nos ab initio propria nobis patiamur mala, crudelibus ſeruientes dominis, Deus quoque, quod ſibi proprium eſt faciet, remiſſionem atque libertatem animabus ad ſe ſuppliciter confugientibus pollicitus: non tantum exitum e carcere cuſtodiis ſepto et vinculorum ſolutionem offerens, ſed et viaticum inſuper, quae vocatur *ſubſtantia.* Hoc quid ſit, dicam apertius: quando animus ſuperne e coelo delapſus illigatur corporis neceſſitatibus, dein vero nulla harum ineſcatus, vt androgynus et effoeminatus, dulcia mala complectitur: quod ſi perſiſtit in natura ſua maſcula paratus ad conflictationem, et ſtudioſis artibus liberalibus innutritus, ex harum commercio temperantiam fortitudinemque, eximias conſecutus eſt virtutes, remigrandi in patriam conceſſa facultate, affert vna omnes diſciplinae partes, quas ſcriptura vocat *ſubſtantiam.*

Addit deinceps: *Tu autem abibis ad patres tuos, cum pace nutritus in ſenectute bona.* Ergo nos imperfecti et bellum et ſeruitutem ſuſtinemus, aegre inuenientes liberationem e periculis impendentibus; at illud perfectum genus nec ſeruitute nec bello opprimitur, pace et firmiſſima libertate innutritum. Pertinet autem ad mores, quod bonum virum non mori, ſed abire doceat, vt oſtendat inextinguibile et immortale genus perpurgatae animae hinc in coelum proficiſci; abſque diſſolutione ac corruptione, quam mors videtur inducere. Poſt vero illud, *Abibis*, ſcribitur, *ad Patres tuos.* Quosnam Patres dicat, conſiderandum exi-

k) Ita MSS. pro ἐπάγεσθαι in Edit. (et Cod. A.)

l) Editi et Cod. A. ὅπερ.

m) Gen. XV, 15.

n) Cod. A. γήρει. P.

o) Melius ἀποφαίνῃ, vel, ἀποφήνῃ.]

ρας σου ποίους πατέρας, ἄξιον σκέψασθαι. Τοὺς μὲν γὰρ ἐν γῇ Χαλδαίων βεβιωκότας, οἷς μόνοις p) ἐνεχρόνισε συγγένεσιν, οὐκ ἂν λέγοι, διότι χρησμῷ τῶν ἀφ' αἵματος διῳκίσθη. Εἶπε γάρ, r) φησι, κύριος τῷ Ἀβραάμ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, πρὸς τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα. Τὸν γὰρ ἀλλοτριωθέντα ἐπιφροσύνῃ θείᾳ, πῶς ἦν τοῖς αὐτοῖς εὔλογον οἰκειοῦσθαι πάλιν; πῶς δὲ τὸν ἔθνους καὶ γένους ἑτέρου μέλλοντα ἔσεσθαι ἡγεμόνα, προσκληροῦσθαι τῷ παλαιῷ; Οὐ γὰρ ἂν ἐχαρίζετο καινὸν s) τρόπον τινὰ καὶ νέον ἔθνος, καὶ γένος αὐτῷ ὁ θεός, εἰ μὴ τοῦ ἀρχαίου κατὰ τὸ παντελὲς ἀπεσχοίνιζεν. Ἐθνάρχης γὰρ καὶ γενάρχης ὡς ἀληθῶς ἐστιν οὗτος, ἀφ' οὗ καθάπερ ἀπὸ ῥίζης, τὸ θεωρητικὸν καὶ σκεπτικὸν τῶν τῆς φύσεως πραγμάτων ἀνεβλάστησεν ἔρνος, ὄνομα Ἰσραήλ· t) ἐπεὶ καὶ τὰ παλαιὰ ἐκ προσώπου νέων ἐκφέρειν διείρηται. Ποῦ γὰρ ἀρχαιολογίας ἔτι καὶ παλαιῶν καὶ κατημαξευμένων u) ἐθῶν ὄφελος, οἷς ἐξαπιναίως οὐδὲν προσδοκήσασιν ἀθρόα καὶ νέα ὤμβρησεν ἀγαθά; Πατέρας οὖν, οὐχ ὧν x) μετανάστατος ἐγένετο ἡ ψυχή, καλεῖ τοὺς ἐν τοῖς Χαλδαϊκοῖς κατωρυγμένους μνήμασιν, ἀλλ' ὡς μὲν ἔνιοί φασιν, ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας· τῶν γὰρ κατὰ γῆν y) ἁπάντων τὴν φύσιν διὰ τούτων λόγος ἔχει συνίστασθαι· ὡς δέ τινες νομίζουσι, τὰς ἀρχετύπους ἰδέας, τὰ νοητὰ καὶ ἀόρατα ἐκεῖνα τῶν αἰσθητῶν καὶ ὁρωμένων τούτων παραδείγματα, πρὸς ἃ τὴν τοῦ σοφοῦ διάνοιαν μετοικίζεσθαι. Τινὲς δὲ πατέρας ὑπετόπασαν εἰρῆσθαι τὰς τέσσαρας ἀρχάς τε καὶ δυνάμεις, ἐξ ὧν συνέστηκεν ὁ κόσμος, γῆν, ὕδωρ, z) ἀέρα, καὶ πῦρ. Εἰς γὰρ

p) MSS. Coisl. Aug. et Coll. Nou. ἐγχρονίσας ὡς συγγενέσιν ἦν, idque, vt videtur, rectius.

r) Gen. XII, 1.

s) Fotsan τόπον.

t) Leu. XXVI, 10.

u) Sic MSS. Aug. et Coll. Nou. pro ἐθνῶν in Edit. (et Cod. A.)

exiſtimo. Nam de illis qui vixerunt in terra Chaldaeorum, in quorum vt cognatorum familia haeſerat *Abraham*, intelligi non poteſt, quando oraculo iuſſus eſt a cognatis ſecedere. Dixerat enim Dominus ad eum: *Exi e terra tua, et e cognatione tua, et e domo patris tui, ad terram quam oſtendam tibi, et faciam te in gentem magnam.* Hunc diuino monitu a ſuis alienatum an erat credibile ipſis iterum familiarem fieri? et vt futurus princeps noui generis contribueretur veteri? Nequaquam enim ei Deus daturus erat nouam quodammodo et recentem gentem et genus, niſi prius in totum ſeparato a veteri. Hic eſt enim verus princeps gentis et generis, ex quo ceu e radice pullulauit ſtirps illa contemplatiua et perſpicax rerum naturae, nominata Iſrael; ſiquidem praeceptum eſt, *vt a facie nouorum auferantur vetera.* Quis enim eſt vſus antiquitatis et morum vetuſtorum et vſu tritorum, iis, quibus nec opinantibus confertim noua bona imbris more impluunt? Patres igitur non illos dicit, quorum animae demigrarunt, defoſſos in monumentis Chaldaicis, ſed, vt quidam aiunt, ſolem, lunam, ſtellasque caeteras: (vniuerſarum enim in mundo rerum natura ab his compingi exiſtimatur) verum vt alii hoc dictum interpretantur, ideas archetypas mente perceptas et inuiſibiles, ad quarum exemplar haec ſenſibilia quae videmus facta ſunt: ad quas etiam ſapientis animus demigrare cupit. Rurſum alii ſuſpicantur patres dictos eſſe principales potentias quatuor, ex quibus mundus conſtat, terram, aquam, aerem, ignemque. In haec enim res ſingulas aiunt reſolui

x) Sic MSS. Aug. et Coll. Nou. Editi (et Cod. A.) *μεταναςάντος.*

y) Sequebatur in Editis *ἑπομένων*, quod deleui fide Codd. vel ſcribendum *βλεπομένων*. Ex iisdem quoque reſtitui *τὴν φύσιν.* (Editis accedit Cod. A.)

z) Edit. et Cod. A. addunt *καί*. P.

γὰρ ταύτας ἕκαστον τῶν γενομένων φασὶν ἀναλύεσθαι δεόντως. Καθάπερ γὰρ ὀνόματα καὶ ῥήματα, καὶ τὰ λόγου μέρη πάντα, συνέστηκε μὲν ἐκ τῶν τῆς γραμματικῆς στοιχείων, ἀναλύεται δὲ πάλιν εἰς a) ἔσχατα ἐκεῖνα· τὸν αὐτὸν τρόπον ἕκαστος ἡμῶν b) συγκραθεὶς ἐκ τῶν τεσσάρων, καὶ ἀφ᾽ c) ἑκάστης οὐσίας d) δανεισάμενος μικρὰ μόρια, καθ᾽ ὡρισμένας περιόδους καιρῶν ἐκτίνει τὸ δάνειον· εἰ e) μέν τι ξηρὸν ᾖ, f) ἐπιδιδοὺς γῇ· εἰ δέ τι ὑγρὸν, ὕδατι· εἰ δὲ ἔνθερμον, πυρί· εἰ δὲ ψυχρὸν, ἀέρι. g) Τὰ μὲν σωματικὰ, h) ταῦτα· τὸ δὲ νοερὸν καὶ οὐράνιον τῆς ψυχῆς γένος, πρὸς αἰθέρα τὸν καθαρώτατον, ὡς πρὸς πατέρα ἀφίξεται. Πέμπτη γὰρ, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἔστω τις οὐσία i) κυκλοφορητικὴ, τῶν τεσσάρων κατὰ τὸ κρεῖττον διαφέρουσα, ἐξ ἧς οἵ τε ἀστέρες, καὶ ὁ σύμπας οὐρανὸς ἔδοξε γεγενῆσθαι, ἧς κατὰ τὸ ἀκόλουθον θετέον καὶ τὴν ἀνθρωπίνην ψυχὴν ἀπόσπασμα.

Τὸ δὲ, μετ᾽ εἰρήνης τραφεὶς, οὐκ ἀπὸ σκοποῦ προσδιώρισται, ἀλλ᾽ ὅτι σχεδὸν τὸ πλεῖστον ἀνθρώπων γένος, ἐπὶ πολέμῳ καὶ τοῖς ἐκ πολέμου κακοῖς πᾶσι τρέφεται. Πόλεμος δὲ ὁ μὲν ἀπὸ τῶν ἐκτός ἐστιν, ἐν ἀδοξίᾳ καὶ δυσγένεια καὶ τὰ ὁμοιότροπα ἐπάγουσιν· ὁ δ᾽ ἀπὸ τῶν ἐμφυλίων, κατὰ μὲν τὸ σῶμα, ἀσθένειαι, λῶβαι, πηρώσεις παντελεῖς, καὶ κηρῶν σωρὸς ἄλλων ἀμυθήτων· κατὰ δὲ τὴν ψυχὴν, k) πάθη, νοσήματα, ἀῤῥωστήματα, δι᾽ ἀφροσύνης καὶ ἀδικίας καὶ τῶν l) ὁμοιοτυράννων χαλεπαὶ καὶ βαρύταται ἐπαναστάσεις, καὶ ἀκαθαίρετοι m) δυνά-

a) Melius forte στοιχεῖα.

b) Anne συγκριθεὶς?

c) Sic pro ἑκάστου MSS. (Cod. A. ἑκατέρου.)

d) Platonem respicit in Timaeo p. 42. vid. supra de Posterit. Cain. T. II. p. 254. e. n.

e) Cod. A. μέντοι. P.

f) Editi et Cod. A. ἀποδιδούς.

g) MS. Coisl. τὰ μὲν οὖν.

h) Forte ταύτῃ.

resolui necessario. Sicut enim nomina, verba, et omnes orationis partes conficiuntur ex elementis grammaticis, ac rursum resoluuntur in eadem: sic vnusquisque nostrum contemperatus ex his quatuor, et a singulis mutuatus quasdam portiunculas, ad certum tempus reddit debitum, nimirum aridas terrae, humidas aquae, calidas igni, frigidas aeri. Et tales quidem res corporeae, caeterum intelligens illud atque coeleste genus animae ad aetherem purissimum, tanquam ad patrem perueniet. Sit enim haec, vt prisci docent, quinta quaedam essentia motu orbiculari praedita, caeteris quatuor melior, ex qua et coelum et sidera facta fuisse videntur, cuius quoque consequenter humana anima est particula.

Illud porro, *in pace nutritus*, non temere additur: sed quia maxima pars hominum nutritur in bello et bellicis calamitatibus. Est autem bellum alterum externum, quod infert obscuritas, ignobilitas, et quicquid est simile; alterum ciuile, quo partim corpus impetitur a morbis, laesionibus, mutilationibus, aliisque pestibus innumeris: partim anima oppugnatur ab affectibus, aegritudinibus, stultitiae, iniustitiae, similiumque tyrannorum insultibus grauissimis

i) Nonnulli Codd. κυκλοφορική, sic enim infra noster de Somn. p. 568. De quo videndi Aristoteles de coelo L. I. c. 2. Cicer. Quaest. Tusc. L. I. Stob. Ecl. Physic. L. I. p. 57. Iust. Mart. Cohort. p. 6. Orig. Contra Cels. L. IV. p 202. Ambros. Hexaem. L. IV.

k) Sic MSS. Vat. et Coll. Nou. pro πάθος in Edit. et Cod. A.

l) Forte ὁμοιοτρόπων, vt supra.

m) MSS. Aug. et Coll. Nou. δυναστείαις, et sic vt opinor rectius. (Cod. A. δυνάμεις.)

δυνάμεις. Μετ' εἰρήνης οὖν τραφεὶς, ὁ γαληνὸν καὶ εὔδιον κτησάμενος βίον, εὐδαίμονα ὡς ἀληθῶς καὶ μακάριον. Πότε οὖν τοῦτο συμβήσεται; ὅταν εὐοδῇ n) μοι τὰ ἐκτὸς πρὸς εὐπορίαν καὶ εὐδοξίαν· εὐοδῇ o) τὰ σώματος πρὸς ὑγείαν τε καὶ ἰσχύν· εὐοδῇ δὲ p) καὶ τὰ ψυχῆς πρὸς ἀπόλαυσιν ἀρετῶν. Χρῄζει γὰρ ἕκαστον οἰκείων δορυφόρων· δορυφορεῖται δὲ σῶμα μὲν εὐδοξίᾳ καὶ περιουσίᾳ καὶ ἀφθονίᾳ πλούτου· ψυχὴ δὲ, τῷ τοῦ σώματος ὁλοκλήρῳ καὶ κατὰ πάντα ὑγιεινῷ· ὁ δὲ νοῦς ὑπὸ τῶν ἐν ταῖς ἐπιστήμαις θεωρημάτων. Ἐπεὶ ὅτι γε εἰρήνης, οὐχ ἣν αἱ πόλεις ἄγουσι, μέμνηται, σαφές ἐστι τοῖς ἐντυγχάνουσι ταῖς ἱεραῖς γραφαῖς· μεγάλους γὰρ καὶ βαρεῖς πολέμους Ἀβραὰμ ἀνεδέξατο, οὓς καθῃρηκὼς φαίνεται. Καὶ, ἡ τῆς πατρῴας μέντοι γῆς ἀπόλειψις, μετανισταμένῳ καὶ πόλιν οἰκῆσαι μὴ δυναμένῳ, φερομένῳ δὲ ὧδε κἀκεῖσε, καὶ ἐρήμους καὶ ἀτριβεῖς ὁδοὺς ἀλωμένῳ, τῷ μὴ θεοπροπίοις καί τισι θεσφάτοις πεπιστευκότι βαρὺς ἦν πόλεμος. q) Ἀλλὰ δεῖ γὰρ καὶ r) τριῶν τῶν φοβερῶν προσενδαψιλεύσασθαι; λιμοῦ, μεταναστάσεως καὶ πολέμου κακῶν, χείρονα. Ποίαν οὖν εἰρήνην ἤγαγεν; Τὸ γὰρ, οἶμαι, μετανίστασθαι, καὶ ἀνίδρυτον εἶναι, καὶ βασιλεῦσιν ἀμάχοις ἐναντιοῦσθαι s) μὴ δυνάμενον, καὶ λιμῷ πιεζεῖσθαι, πόλεμον οὐχ ἕνα, πολλοὺς δὲ καὶ πολυτρόπους ἔοικε μηνύειν. Ἀλλ' ἔν γε ταῖς δι' ὑπονοιῶν ἀποδόσεσιν, εἰρήνης ἀκράτου δεῖγμα ἕκαστον αὐτῶν εἶναι συμβέβηκε. Παθῶν γὰρ ἔνδεια, καὶ λιμὸς, καὶ καθαίρεσις ἐχθρῶν ἀδικημάτων, καὶ μετανάστασις ἀπὸ Χαλδαϊκῆς δόξης πρὸς τὴν φιλόθεον, τουτέστιν ἀπὸ τοῦ γεγονότος αἰσθητοῦ πρὸς τὸ νοητὸν καὶ πεποιηκὸς αἴτιον, t) εὐνομίαν καὶ εὐστάθειαν κατασκευάζουσιν. Ὑπισχνεῖται δὲ τῷ τοιαύτην ἄγοντι εἰρήνην, καλὸν γῆρας, οὐ δήπου πολυχρόνιον, ἀλλὰ τὸ μετὰ

φρονή-

n) Scribe μέν.

o) Adde δέ.

p) Καὶ MSS. pro μοι in Edit. (et Cod. A.)

q) Melius, secundum contextum, ἀλλ' ἔδει.

mis et inuicta dominatione. Itaque in *pace nutritur*, cui serena tranquillaque vita contigit, vere felix ac beata. At quando haec contingit? quando in rebus externis bene se habent facultates et existimatio, corpus robore ac prospera valetudine fruitur, anima vero virtutibus. Opus est enim his singulis suo satellitio: corpori pro satellitibus sunt gloria, diuitiae, potentia: animae autem, sanitas atque integritas corporis: at menti, scientiae disquisitiones. Siquidem de pace externa, quam ciuitates agunt, haec non intelligi, liquet e sacrae scripturae lectione; maxima enim grauiaque bella et suscepit et debellauit Abraham. Quin et, derelicta patria, migranti et ab omni vrbe expulso, et vltro citroque vaganti per deserta et inuia, graue bellum fuisset, ni quibusdam diuinis monitis et praedictionibus credidisset. Erat enim ei ferenda calamitas non mediocris, quaedam tertia, fames, omnibus oppugnationis et belli malis molestior. Qualem igitur pacem habuit? Nam, vt opinor, peregrinatio, sedes incertae, cum potentibus regibus iniqua contentio, famis onus, non simplicem afferebant belli speciem. Verum secundum mysticos sensus haec ipsa sunt sincerae pacis indicia. Nam affectuum fames et inopia, et deletae iniquitatum infestae copiae, et a Chaldaicis opinionibus ad pias ac religiosas transitus, hoc est a sensibilibus creaturis ad autorem earum incorporeum, tranquillam firmamque pacem conciliant. In tali pace degenti bona senectus promittitur, non longaeuitas, sed vita cum prudentia; nam felices dies multis annis meliores sunt, sicut

r) MSS. τρίτον τι τῶν — — λιμόν, et sic legendum arbitror. (acc. Cod. A.)

s) Μὴ addidi ex MSS. (Cod. A. deest.) Forte vero pro δυνάμενον scribi potest ἀμυνάμενον.

t) Ita MSS. pro εὐωνυμίαν in Edit. (et Cod. A.)

φρονήσεως ζῆν· τὸ γὰρ εὐήμερον πολυετίας κρεῖττον, ὅσῳ καὶ βραχύτερον φῶς u) σκότους αἰωνίου. Μίαν γὰρ ἡμέραν x) ὑγιῶς εἶπέ τις y) προφήτης ἀνὴρ, βούλεσθαι βιῶναι μετὰ ἀρετῆς, ἢ μυρία ἔτη ἐν σκιᾷ τοῦ θανάτου· σκιὰν τὸν z) φαῦλον αἰνιττόμενος βίον. Τὸ δὲ αὐτὸ καὶ νῦν a) ἔργῳ μᾶλλον ἢ ῥήματι διασυνίστησι Μωσῆς· ὃν γὰρ ἀναγράφει γήρᾳ χρησόμενον καλῷ, τῶν πρὸ αὐτοῦ σχεδὸν ἁπάντων b) ὀλιγοχρονιώτατον εἰσήγαγε· φιλοσοφῶν καὶ διδάσκων ἡμᾶς, τίς ὁ πρὸς ἀλήθειαν εὐγηρώς ἐστιν, ἵνα μὴ παλαιὸν τῦφον ἐπὶ τοῦ φανεροῦ σώματός ποτε ἀναδεξώμεθα, γέμοντα αἰσχύνης καὶ πολλῶν ὀνειδῶν· ἀλλ' εὐβουλίαν καὶ σταθερότητα ψυχῆς ἰδόντες, τὸ γέρως ἀδελφὸν καὶ c) παρώνυμον καλὸν γῆρας, ἐπιφημίσωμέν τε καὶ μαρτυρήσωμεν. Δογματικῶς οὖν ἄκουε κατὰ τὸν νομοθέτην, μόνον τὸν ἀστεῖον, εὔγηρων καὶ μακροβιώτατον· ὀλιγοχρονιώτατον δὲ τὸν φαῦλον, ἀποθνήσκειν d) μανθάνοντα, μᾶλλον δὲ τὴν ἀρετῆς ζωὴν ἤδη τετελευτηκότα.

Λέγεται δ' ἑξῆς, Τετάρτη γενεᾷ ἀποστραφήσονται ὧδε, οὐχ ἵνα μόνον e) αὐτῷ μηνυθῇ ὁ χρόνος, ἐν ᾧ τὴν ἱερὰν οἰκήσουσι γῆν, ἀλλ' ὑπὲρ τοῦ καὶ τὴν τελείαν ἀποκατάστασιν ἀρετῆς παραστῆσαι. Γίνεται δὲ ὡσανεὶ τετάρτη γενεᾷ, ὃν δὲ τρόπον, ἄξιον συνδιασκέψασθαι. Ἀποκυηθὲν τὸ βρέφος ἄχρι τῆς πρώτης ἑπταετίας ἐν ἡλικίᾳ τῇ παιδικῇ φύσεως ἀκραιφνοῦς μεμοίραται, f) λείᾳ

μάλιστα

u) Forsan e textu excidit ἡμερήσιον.

x) Sic MSS. (et Cod. A.) pro ὑγιεινῶς. Ex iisdem mox addidi τις (quod Cod. A. deest.)

y) Ps. LXXXIV. Obiter nota haec Dauidis verba memoriter a Philone citari, et licet notanter videatur scripsisse, ἐν σκιᾷ τοῦ θανάτου, non tamen in textu hodierno comparere.

z) Forte φαύλων.

a) Cod. A. ἔργον μᾶλλον ἢ ῥῆμα. P.

b) Vid. supra p. 284. Tom. III. e. n. et p. 387. ed. Par.

ut breuis lux melior quam aeternae tenebrae. Recte enim dixit quidam propheta, *malle se vnam diem cum virtute viuere, quam mille annos in vmbra mortis:* per vmbram, vitam malam subindicans. Idem nunc quoque re magis quam verbis Moses docet; nam hunc cui bonam senectutem pollicetur, breuioris aeui facit quam vllum ex eius maioribus: philosophice nos erudiens, quaenam sit vere bona senectus, ne in corpore visibili sumamus senectutis fastum, probrosis foeditatibus plenum: sed prudentiam constantiamque animi conspicati, his bonae senectutis nomen, honori cognatum ab eoque denominatum, ascribamus et attestemur. Disce igitur hoc dogma nostri legislatoris, soli bono viro bonam senectutem et longaeuitatem contingere: malum autem aeui breuissimi mortem meditari, vel potius virtuti iam esse mortuum.

Sequuntur autem et haec verba: *Quarta generatione reuertentur huc*, vt non solum indicetur tempus post quod posteri deducendi erant in terram sanctam, verum etiam vt significetur perfecta virtutis restitutio, haec autem quarta (vt ita loquar) generatione absoluitur. Id quomodo fiat consideremus. Infans per septennium a natiuitate proximum in aetate puerili pu-



c) Sic MS. Coll. Nou. Editi πατρώνυμον. (Cod. A. πατερώνυμον.)

d) Contextus videtur postulare λανθάνοντα, *clam se morientem.*

e) Scribe αὐτὸ μόνον.

f) Mendose vt arbitror. Sic vero scribe, λείῳ μάλιστα ἐμφερεῦς κήρῳ, τοῖς ἀγαθῶν &c. λεῖος enim de cera saepius praedicatur. (Cod. A. τελείῳ pro λείῳ, nec id sine sensu, P.)

μάλιςα ἐμφερὲς, ἀκηράτοις ἀγαθῶν καὶ κακῶν χαρακτῆρσι μήπω τετυπωμένη. Καὶ γὰρ ὅσα γράφεσθαι δοκεῖ, δι' ὑγρότητα g) ἐπαλειφόμενα συγχεῖται. Πρώτη μὲν ἥδε ὡσανεὶ γενεὰ ψυχῆς. Δευτέρα δὲ, ἥτις μετὰ τὴν παιδικὴν ἡλικίαν, κακοῖς ἄρχεται συζῆν, ἅ, τέ ἐξ ἑαυτῆς εἴωθε γεννᾶν, καὶ ὅσα παρὰ τῶν ἄλλων ἀσμένως δέχεται. Διδάσκαλοί τε γὰρ ἁμαρτημάτων μυρίοι τίτθαι, καὶ παιδαγωγοὶ, καὶ γονεῖς, καὶ οἱ κατὰ πόλεις γεγραμμένοι νόμοι καὶ ἄγραφοι, θαυμάζοντες ἃ χρὴ γελᾶσθαι· καὶ ἄνευ τῶν διδαξάντων, αὐτομαθὴς ἐςὶν αὕτη πρὸς ὑπαίτια, ὡς ὑπ' εὐφορίας ἀεὶ κακῶν βρίθειν. h) Ἔγκειται γὰρ, φησιν, ἡ διάνοια τῦ ἀνθρώπυ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. Ἥδε ἐςὶν ἡ ἐπαρατωτάτη γενεὰ μὲν συμβολικῶς, κυρίως δὲ ἡλικία, καθ' ἣν τό, τε σῶμα i) ἡβᾷ, καὶ ἡ ψυχὴ πέφυσηται, τῶν ἐντυφομένων ἀναῤῥιπιζομένων παθῶν, k) ἄλλως τε ἀςάχυς καὶ πεδία καὶ ὅσα ἂν τύχῃ καταπιμπράντων. Ταύτην τὴν ἐπίνοσον γενεὰν ἢ ἡλικίαν ὑπό τινος τρίτης, οἷα ὑπὸ ἰατρικῆς φιλοσοφίας, νοσηλευθῆναι χρὴ, κατεπᾳσθεῖσαν λόγοις ὑγιεινοῖς καὶ σωτηρίοις, δι' ὧν κένωσιν μὲν ἐνδέξεται τῆς ἀμέτρυ τῶν ἁμαρτημάτων πλησμονῆς· πλήρωσιν δὲ λιμηρᾶς κενώσεως τῶν κατορθωμάτων καὶ ἐρημίας l) δεινῆς. Μετὰ τὴν θεραπείαν ὖν ταύτην, τετάρτη γενεᾷ φύεται ψυχῇ δύναμίς τε καὶ ῥώμη, κατὰ τὴν τῆς φρονήσεως βεβαιοτάτην m) ἀνάληψιν, καὶ τὸ ἐν ἁπάσαις ἀρεταῖς ἀκλινές τε καὶ πάγιον. Τῦτ' ἐςι τὸ λεγόμενον, n) Τετάρτη γενεᾷ ἀποςραφήσονται ὧδε· κατὰ γὰρ τὸν δειχθέντα τέταρτον ἀριθμὸν, ἀποςραφεῖσα τῦ διαμαρτάνειν ἡ ψυχὴ, κληρονόμος ἀποδείκνυται

g) Forte ἀπαλειφόμενα.

h) Gen. VIII, 21.

i) Sic MSS. Coisl. et Coll. Nou. (acc. Cod. A.) Editi ἡ βάσις. Cotelerius ex coniectura fcribendum monet ἡβάσκει.

k) Scribe tenui litterarum permutatione, ἅλως, fc. *areas*, et

ram naturam ſortitur, leui cerae ſimilem, nullis bonis maliſue ſignatae impreſſionibus. Quicquid enim imprimitur, propter mollitiem deletur et confunditur. Haec eſt prima animae aetas. Secunda aetas quae puerilem excipit, cum vitiis incipit habere commercium, quae ſolet vel ex ſe producere, vel aliunde libenter accipere. Complures enim habet magiſtros nequitiae; nutrices, paedagogos, parentes, leges ſcriptas et non ſcriptas in ſingulis ciuitatibus, a quibus honorantur quae rideri debuerant; etiam absque his magiſtris aetas iſta ex ſeipſa ſatis docta ad malitiam, ita vt ferax vitiorum his ſcateat. *Prona eſt*, inquit, *mens hominis ad malitiam, iam inde ab aetate tenera.* Haec eſt illa maledicta, quae figurate generatio, proprie vero aetas dicitur, quo tempore tum corpus vegetum eſt, tum animus turgeſcit; latitantibus adhuc affectibus in flammam erumpentibus, et areas, ſegetes et campos et obuia cuncta exurentibus. Hanc morbidam ſeu generationem ſeu aetatem quadam tertia, quaſi philoſophica medicina curari decet, delinitam ſanis et ſalubribus ſermonibus, per quos exhaurietur vitiorum nimietas, replebitur autem famelica quaſi penuria et grauis ſolitudo virtutum. Poſt hanc curationem iam quarta generatione animae ſolidum robur naſcitur, ex prudentiae firmiſſima et conſtanti apprehenſione in omnibus virtutibus immota. Et hoc eſt quod dicitur, *Quarta generatione reuertentur huc;* nam circa dictum hunc quartum numerum, a peccatis auerſus animus declaratur haeres ſapientiae. Primus numerus, nec bonorum nec malorum capax, eſt nondum ſignatae



et ſic verto. (In Praetermiſſis ſcribendum eſſe notat Mang. ἀλωὰς τε καὶ ϛάχυας.)

l) Sic MSS. Aug. Coisl. et Coll. Nou. pro ἡδονῆς in Edit. (et Cod. A.)

m) MSS. ἀντίληψιν, idque rectius.

n) Gen. XV, 16.

ται σοφίας. Πρῶτος μὲν γὰρ ἀριθμὸς, καθ' ὃν ὔτε ἀγαθῶν ὔτε κακῶν ἔννοιαν λαβεῖν ἐστιν, ἀτυπώτȣ ψυχῆς ὑπαρχȣ́σης. Δεύτερος δὲ καθ' ὃν φορᾷ τῶν ἁμαρτημάτων χρώμεθα. Τρίτος δὲ, ἐν ᾧ θεραπευόμεθα, τὰ νοσερὰ διαθέμενοι, καὶ τὴν ἀκμὴν τῶν παθῶν ἀφηβῶντες. Τέταρτος δὲ, ἐν ᾧ παντελȣ̃ς ὑγείας καὶ ῥώσεως μεταποιȣ́μεθα, ὁπότε ἀποστρεφόμενοι τὰ φαῦλα, καλοῖς ἐγχειρεῖν δοκȣ̃μεν, πρότερον δὲ ȣ̓κ ἔξεστι. Τὸ δὲ ἄχρι τίνος, αὐτὸς o) μηνύει, λέγων, Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἀνομίαι τῶν Ἀμμοῤῥαίων. Δίδωσι δὲ ἀφορμὴν τοῖς ἀσθενεστέροις τὰ τοιαῦτα, ὡς ὑπολαμβάνειν, ὅτι Μωϋσῆς εἱμαρμένην καὶ ἀνάγκην ὡς αἰτίας τῶν γενομένων ἁπάντων εἰσάγει· χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι ἀκολȣθίαν μὲν καὶ εἱρμὸν καὶ ἐπιπλοκὰς αἰτιῶν, ἅτε φιλόσοφος καὶ θεοφράδμων ἀνὴρ ὢν, οἶδε· τȣ́τοις δ' ȣ̓κ ἀνάπτει τὰς τῶν p) γινομένων αἰτίας· ἐφαντασιώθη γὰρ πρεσβύτερον ἄλλο ἐποχȣ́μενον τοῖς ὅλοις, ἡνιόχȣ τρόπον ἢ κυβερνήτȣ. Πηδαλιȣχεῖ γὰρ τὸ κοινὸν τȣ̃ κόσμȣ σκάφος, ᾧ τὰ πάντα ἐμπλεῖ, καὶ τὸ πτηνὸν ἅρμα, τὸν σύμπαντα ȣ̓ρανὸν, ἡνιοχεῖ, χρώμενον αὐτεξȣσίῳ καὶ αὐτοκράτορι βασιλείᾳ. Τί ȣ̓̃ν καὶ περὶ τȣ́των λεκτέον; Ἑρμηνεύονται Ἀμμοῤῥαῖοι λαλȣ̃ντες· τὸ δὲ μέγιστον ἀγαθὸν ἀνθρώπῳ δωρηθὲν ὑπὸ φύσεως τὸν λόγον, μυρίοι τῶν λαβόντων δι' ἀθεϊραν, ἀχαρίστως καὶ ἀπίστως q) τῇ δȣ́σῃ προσενεχθέντες. Οὗτοι δὲ εἰσιν οἱ κόλακες, οἱ γόητες, οἱ πιθανῶν σοφισμάτων εὑρεταὶ, φενακίσαι καὶ παρακρȣ́σασθαι μᾶλλον εὖ εἰδότες, τȣ̃ δὲ ἀψευδεῖν ȣ̓ πεφροντικότες. Ἐπιτηδεύȣσι μέντοι καὶ ἀσάφειαν· ἀσάφεια δὲ βαθὺ σκότος ἐν λόγῳ, κλέπταις δὲ συνεργὸν τὸ r) σκότος. Οὗ χάριν Μωσῆς τὸν ἀρχιερέα δηλώσει καὶ ἀληθείᾳ διακεκόσμηκεν, ἀρίδηλον ἀξιῶν εἶναι καὶ ἀληθῆ τὸν τȣ̃ σπȣδαίȣ λόγον. Οἱ δὲ πολλοὶ τὸν ἄδηλον καὶ ψευδῆ μετα-

o) MSS. μηνύσει, idque rectius. Ibid. pro ἀνομίαι scribitur in MS. Coll. Nou. ficut etiam in textu S. ἁμαρτίαι. Sic noster infra.

p) MS. Aug. γενομένων.

animae; in secundo vbertim vitia proueniunt: tertio conualescimus morbidis iam repulsis et deferuentibus affectibus: quarto in integra valetudine confirmamur, et solidum robur acquirimus, quando a malis auersi bona aggredimur, quod antea non licuit. Quid autem remoretur ipse indicat dicens, *Nondum enim consummatae sunt iniquitates Amorrhaeorum.* Hinc quidam infirmiores occasionem arripiunt, vt suspicentur Mosem fatum ac necessitatem causas rerum inducere; sciendum est autem, consequentiam seriemque causarum inter se implexarum non ignotam fuisse homini philosopho diuinis assueto colloquiis, attamen euentus eum his non attribuere. Videbat enim aliquid antiquius insidens huic vniuerso tanquam aurigam vel gubernatorem. Hoc enim communis nauis, videlicet mundi, clauo assidet, in qua omnes nauigant, et volucrem coeli currum agitat libero et pleno imperio. Quid igitur super his rebus dicendum est? Amorrhaei *loquentes* interpretantur. Maximum autem bonum homini a natura datum, sermonem, plurimi vitiauerunt acceptum, ingrate perfideque hoc vsi contra largitricem. Hi sunt adulatores, praestigiatores, inuentores sophismatum probabilium, impostores fallaciarum peritissimi, de mendacio vitando haud solliciti. Quin etiam insuper affectant obscuritatem: est autem obscuritas caligo profunda in sermone, commodissima autem furibus caligo. Quapropter Moses summum pontificem claritate ornat et veritate, volens perspicuam simul et veracem esse viri boni orationem. At quamplures obscuram atque mendacem sectari malunt, quibus suffragatur vulgarium et contemptissimorum decipi facilis turba. Ergo donec *consummentur Amorrhaeorum peccata*, hoc est sermonum sophisticorum,

 qui

q) MS. Coisl. δέσει.

r) Sic MSS. Vat. et Aug. pro πάθος in Edit. (et Cod. A.

μεταδιώκουσιν, ᾧ συνεπιγράφεται πᾶς ὁ τῶν ἀγελαίων καὶ ἠμελημένων ἀνθρώπων ἀπατώμενος ὄχλος. Ἕως μὲν οὖν οὐκ ἀναπεπλήρωνται τὰ ἁμαρτήματα τῶν Ἀμμοῤῥαίων, τουτέστι τῶν σοφιστικῶν λόγων διὰ τὸ ἀνεξέλεγκτον, ἀλλ᾿ ἔτι s) ἐνδιόλκον ἔχοντα δύναμιν, ταῖς πιθανότησιν ἡμᾶς ἐπάγεται, ἀποστραφῆναι καὶ καταλιπεῖν αὐτὰ οὐ δυνάμενοι, τῷ δελεάζεσθαι t) καταμένομεν. Ἐὰν δὲ πᾶσαι αἱ ψευδεῖς πιθανότητες διελεγχθῶσιν ὑπὸ τῶν u) ἀληθῶν πίστεων, καὶ πλήρεις αὐτῶν καὶ ἐπιχειλεῖς αἱ ἁμαρτίαι περιφανῶσιν, ἀποδρασόμεθα ἀμεταστρεπτὶ, καὶ μονονοὺ τὰ x) ἀπόγεια ἀράμενοι, τῆς τῶν ψευσμάτων καὶ σοφισμάτων χώρας ἐξαναχθησόμεθα, τοῖς ἀληθείας ναυλοχωτάτοις ὑποδρόμοις καὶ λιμέσιν ἐνορμίσασθαι ἐπειγόμενοι. Τοιοῦτον δὴ τὸ δηλούμενον ὑπὸ τῆς προτάσεως, ἀμήχανον ἀποστραφῆναι καὶ μισῆσαι καὶ καταλιπεῖν τὸ πιθανὸν ψεῦδος, εἰ μὴ τὸ περὶ αὐτὸ ἁμάρτημα πλῆρες ἀναφανῇ καὶ τέλειον· ἀναφανεῖται δὲ ἐκ τοῦ μὴ y) παρέργως διελεγχθῆναι, κατὰ τὴν ἀληθοῦς ἀντίταξιν καὶ βεβαίωσιν.

Λέγει δὲ ἑξῆς, z) Ἐπεὶ δὲ ἐγένετο ὁ ἥλιος πρὸς δυσμὰς, φλὸξ ἐγένετο· δηλῶν ὅτι ἀρετὴ πρᾶγμά ἐστιν ὀψίγονον, καὶ μὴν ὡς ἔφασάν τινες, πρὸς αὐταῖς ταῖς τοῦ βίου δυσμαῖς βεβαιούμενον. Ἀρετὴν δὲ ἀπεικάζει φλογί· καθάπερ γὰρ ἡ φλὸξ καίει μὲν τὴν a) παραβληθεῖσαν ὕλην, φωτίζει δὲ τὸν γείτονα ἀέρα· τὸν αὐτὸν τρόπον ἐμπίπρησι μὲν τὰ ἁμαρτήματα ἡ ἀρετὴ, φέγγους δὲ τὴν ὅλην ἀναπίμπλησι διάνοιαν. Ἀλλὰ γὰρ ἔτι τῶν ἀδιαιρέτων καὶ ἀμερίστων λόγων ἐπικρατούντων ταῖς πιθανότησιν, οὓς Ἀμμοῤῥαίους ἀνακαλεῖ, περιφανεστάτην καὶ ἄσκιον αὐγὴν ἰδεῖν οὐ δυνάμεθα· κλιβάνου δὲ εἰλικρινὲς πῦρ οὐκ ἔχοντος, ἀλλ᾿ ὡς αὐτὸς ἔφη, καπνιζομένου

s) Forſan ὁλκόν. (Cod. A. εὐδιόλκον.

t) Melius vt puto, ἐγκαταμένομεν. Ibid. repoſui αἱ ψευδεῖς fide MSS. Aug. et Coisl. pro ἀψευδεῖς in Edit. (et Cod. A.)

u) Sic MS. Aug. (et Cod. A.) pro ἀληθῶς.

qui non facile conuincuntur, illa autem vi attrahendi praedita nos rationibus persuasibilibus ductant, non valentes ea auersari et derelinquere; in eorum illecebris perstamus. Quod si omnes mendaces persuasiones bona fide coarguantur, et plena et superfluentia eorum appareant peccata, continuato cursu fugiemus, et oram soluentes nauigabimus a regione mendaciorum ac sophismatum, ad veritatis stationes portusque tutissimos studiose appellentes. Atque ita satis demonstratum puto, esse impossibile auersari, odisse, deserere mendacia probabilia, nisi detegatur ad plenum eorum iniquitas: quae tum demum apparebit, si non negligenter a veritate opposita redarguatur.

Sequitur deinceps: *Post occasum autem solis emicuit flamma*, quibus verbis significatur, virtutem esse rem serotinam, atque etiam, vt quidam aiunt, sub vitae finem constabiliri. Hanc flammae dicit similem: nam sicut flamma vrit subiectam materiam, illuminans vicinum aerem: ad eundem modum virtus exurit vitia, totam mentem replens lumine. Sed donec sermones indiuisi et indiscreti valent persuasionibus, quos Amorrhaeos vocant sacrae literae, lucidissimum purissimumque splendorem videre non possumus: verum more fornacis igne carentis, et, vt ipse vates ait,

I 5 *fuman-*

x) Ita MS. Coisl. pro ἐπίγεια in Edit. (et Cod. A.)

y) Sic MSS. Editi (et Cod. A.) περιέργως.

z) Gen. XV, 17.

a) MSS. παρευρεθεῖσαν, sed nil muto: sic scribitur p. 432. ed. Par.

λέγων· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. Ποίαν γῆν δηλοῖ, g) εἰ μὴ τὴν προειρημένην, ἐφ' ἣν ποιεῖται τὴν ἀναφοράν; ἧς ἐστιν ὁ καρπὸς, κατάληψις ἀσφαλὴς καὶ βεβαιοτάτη τῆς τοῦ θεοῦ σοφίας, καθ' ἣν τὰ σύμπαντα h) τοῖς τομεῦσιν ἑαυτοῦ διαφυλάττει ἀπαθῆ τὰ ἀγαθὰ κακοῦ, i) κατὰ τὰ ἐπὶ τοῖς τὴν γένεσιν ἀφθάρτοις. Εἶτ' ἐπιλέγει, Ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου· δηλῶν ὅτι οἱ τέλειοι, τὰς μὲν ἀρχὰς ἔχουσιν ἀπὸ σώματος καὶ αἰσθήσεως, καὶ τῶν ὀργανικῶν μερῶν, ὧν ἄνευ ζῆν οὐκ ἔστι· χρήσιμα γὰρ πρὸς τὴν ἐν τῷ μετὰ σώματος βίῳ παιδείαν· τὰ δὲ τέλη, ἐπὶ τὴν τοῦ θεοῦ σοφίαν, τὸν μέγαν ὡς ἀληθῶς ποταμὸν, χαρᾶς καὶ k) εὐφροσύνης καὶ τῶν ἄλλων ἀγαθῶν πλημμυροῦντα. Οὐ γὰρ ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου ἕως τοῦ Αἰγυπτίου ποταμοῦ, l) τὴν χώραν περιέγραψε· οὐ γὰρ ἂν ἀρετὴν εἰς τὰ σωματικὰ πάθη κατεβίβασεν· ἀλλ' ἔμπαλιν ἀπὸ τοῦ Αἰγυπτίου, ἕως τοῦ μεγάλου Εὐφράτου· ἀπὸ γὰρ τῶν θνητῶν αἱ m) οἰκειώσεις γίνονται πρὸς τὰ ἄφθαρτα.

ΠΕΡΙ

g) Sic MSS. pro ὅτι μὴ in Edit. (et Cod. A.)
h) Markland reponit: τοῖς τιμῶσιν αὐτόν.
i) Forte καθά.

per quam sapientiam illa honorantibus ipsum cuncta conseruat bona a malis illaesa, quasi ab ortus initio fuerant incorrupta. Post haec addit: *A flumine Aegypti ad magnum flumen Euphratem*, docens quod perfecti initia quidem habent a corpore et sensu et organicis partibus, sine quibus non viuitur; prosunt enim ad instituendam vitam quam in corpore degimus; desinunt autem *perfecti* in Dei sapientiam, magnum reuera fluuium, gaudio laetitiaque redundantem et bonis caeteris. Non enim *ab Euphrate flumine vsque ad flumen Aegypti*, terram hanc circumscripsit, (sic enim demitteretur virtus ad corporeos affectus:) sed contra: *ab Aegyptio flumine ad magnum illum Euphratem*; nam a mortalibus transitus fiunt ad immortalia.

DE

k) Alludit, vt videtur, ad nomen Euphratis, quasi deriuaretur ab εὐφροσύνη.

l) Ita MSS. pro ὃς τὴν χώραν περιγράφει in Edit. (et Cod. A.)

m) Forte τελειώσεις vel μετοικήσεις.

# ΠΕΡΙ ΤΗΣ
# ΕΙΣ ΤΑ
# ΠΡΟΠΑΙΔΕΥΜΑΤΑ
# ΣΥΝΟΔΟΥ.

---

# DE
# CONGRESSV
## QVAERENDAE ERVDITIONIS GRATIA.

*) a) Σάῤῥα δὲ ἡ γυνὴ Ἀβραὰμ, οὐκ ἔτικτεν αὐτῷ, ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. Εἶπε δὲ b) Σάῤῥα πρὸς Ἀβραὰμ, ἰδοὺ συνέκλεισέ με ὁ κύριος τοῦ μὴ τίκτειν, εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα c) τεκνοποιήσῃς ἐξ αὐτῆς. d) Τὸ Σάῤῥας ὄνομα μεταληφθὲν ἐστιν ἀρχή μου· φρόνησις δὲ ἡ ἐν ἐμοὶ, καὶ σωφροσύνη ἡ ἐν ἐμοὶ, καὶ ἡ ἐπὶ μέρους δικαιοσύνη, καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν, ἣν περὶ ἐμὲ μόνον εἶναι συμβέβηκεν, ἀρχή ἐστιν ἐμοῦ μόνου. Ἐπιστατεῖ γάρ μου καὶ ἡγεμονεύει πειθαρχεῖν ἐγνωκότος, βασιλὶς ἐκ φύσεως ὑπάρχουσα. Ταύτην Μωϋσῆς, (τὸ παραδοξότατον,) καὶ στεῖραν ἀποφαίνει καὶ πολυγονωτάτην, εἴγε τὸ πολυανθρωπότατον τῶν ἐθνῶν ἐξ αὐτῆς ὁμολογεῖ γενέσθαι. Τῷ γὰρ ὄντι ἡ ἀρετὴ πρὸς μὲν τὰ φαῦλα πάντα ἐστείρωται, τῶν δὲ ἀγαθῶν εὐτοκίᾳ χρῆται τοιαύτῃ, ὡς μηδὲ μαιευτικῆς τέχνης δεῖσθαι, φθάνει γὰρ ἀποτίκτουσα. Τὰ μὲν οὖν ζῶα καὶ φυτὰ διαλείποντα τὸν πλείω χρόνον, ἅπαξ ἢ δὶς τὸ πλεῖστον τοὺς οἰκείους δι᾽ ἐνιαυτοῦ φέρει καρποὺς, καθ᾽ ὃν ἔταξεν ἀριθμὸν ἑκάστοις ἡ φύσις, ἐναρμοζόμενον ταῖς ἐτησίοις ὥραις· ἀρετὴ δὲ οὐ διαλείπουσα,

*) Huius opusculi idem est titulus in omnibus codicibus MSS. Eusebius vero Eccl. hist. L. II, c. 18. sic habet, καὶ ὁ περὶ τῆς πρὸς τὰ παιδεύματα συνόδου. Vbi tamen rectius scribi videtur προπαιδεύματα. Hieron. L. de viris ill. *De Eruditione*, et ex eo Suidas περὶ παιδεύσεως. Hinc vero titulus libelli factus, quod mystice explicans Congressum Abrahami cum Agare ancilla, interuentu Sarae vxoris, hanc perfectae virtutis vel scientiae, illam disciplinae mediae symbolum ponat. Huc vero respicit Origenes contra Celsum L. IV. Plurima hinc etiam depromsit Clem. Alex. Strom. I. tacito licet fere Phi-

*Sarra autem vxor Abrahami non pariebat ei; habebat autem ancillam Aegyptiam nomine Agar, dixitque Sarra ad Abraham: Ecce conclusit me Dominus ne parerem: ingredere ad ancillam meam, vt suscipias ex ea liberos.* Sarrae nomen exponitur *principatus meus;* nam prudentia mea, temperantia mea, et particularis iustitia, aut vnaquaelibet virtus alia, quae mihi soli contigit, meus tantum principatus est; imperat enim mihi obsequenti voluntarie, pro regina mihi per naturam apposita. Hanc Moses, (quod mireris,) et sterilem ostendit, et foecundissimam; quandoquidem frequentissimam omnium nationum ex hac progenitam fatetur. Nam reuera virtus quantum ad res malas attinet, sterilis est: bonarum vero tam foecunda, vt ne obstetricum quidem opem requirat, partu praeueniens earum operam. Igitur animantes stirpesque per interualla semel atque iterum, vt plurimum, in anno suos fructus afferunt, stato naturae temporumque ordine: virtus vero continue sine cessatione parit omni tempore, non infantulos, sed probos sermones, inculpata

culpata

Philonis nomine. (In Codice A. numero ιζ. signatum hocce opusculum, tractatum περὶ ἀποικίας excipit. P.

a) Gen. XVI. 1.

b) Textus S. Σάρρα cum simplici ρ, et sic infra passim rectius, vt semel monuisse sufficiat. Neque enim adhuc nomen eius mutatum.

c) Sic post Philonem Ambrosius et Chrysostomus, sicut etiam Ioseph. Antiq. L. I. c. 10. Atqui textus Bibliorum; habet τεκνοποιήσω. Sicut etiam Hebr. אבנה. MS. Vat. εἴπως οἰκοδομηθήσομαι.

d) Videtur τελείως excidisse e textu.

σα, ἀνελλιπῶς δὲ καὶ ἀδιαστάτως κατὰ τοὺς ἀμερεῖς χρόνους, ἀεὶ γεννᾷ, βρέφη μὲν οὐδαμῶς, λόγους δὲ ἀστείους, καὶ βουλὰς ἀνεπιλήπτους, καὶ ἐπαινετὰς πράξεις. Ἀλλ' οὔτε πλοῦτος, ᾧ μὴ δυνατόν ἐστι χρῆσθαι, τοὺς κεκτημένους ὠφελεῖ, οὔτε ἡ φρονήσεως εὐτοκία, ἐὰν μὴ καὶ ἡμῖν αὐτοῖς τὰ ὠφέλιμα τίκτῃ. Τοὺς μὲν γὰρ εἰς ἅπαν ἀξίους ἔκρινε τῆς συμβιώσεως αὐτῆς, οἱ δ' οὔπω ἡλικίαν ἔδοξαν ἔχειν, ὡς ἐπαινετῆς καὶ σώφρονος οἰκουρίας ἀνέχεσθαι, e) οἷς τὰ πρωτέλεια τῶν γάμων ἐφῆκε ποιεῖσθαι, ἐλπίδα καὶ τοῦ f) θύσειν τοὺς γάμους παραχοῦσα. Σάῤῥα οὖν ἡ ἄρχουσά μου τῆς ψυχῆς ἀρετὴ, ἔτικτε μὲν, οὐκ ἔτικτε δ' ἐμοί· οὐ γὰρ ἠδυνάμην πω νέος ὢν τὰ γεννήματα αὐτῆς παραδέχεσθαι· τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὐσεβεῖν, διὰ τὸ πλῆθος τῶν νόθων a) παιδίων, οὓς ἀπεκύησάν μοι αἱ κεναὶ δόξαι. Τροφαὶ γὰρ αἱ τούτων καὶ συνεχεῖς ἐπιμέλειαι καὶ φροντίδες b) ἄλεκτοι, τῶν γνησίων καὶ ὡς ἀληθῶς ἀστῶν ὀλιγωρεῖν ἠνάγκασαν. Καλὸν οὖν εὔχεσθαι τὴν ἀρετὴν μὴ μόνον τίκτειν, ἣ καὶ δίχα εὐχῆς c) εὐτοκεῖ, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς τίκτειν, ἵνα τῶν σπερμάτων καὶ γεννημάτων αὐτῆς μεταλαγχάνοντες, εὐδαιμονῶμεν. Εἴωθε γὰρ θεῷ μόνῳ τίκτειν, τὰς ἀπαρχὰς ὧν ἔτυχεν ἀγαθῶν εὐχαρίστως ἀποδιδοῦσα τῷ τὴν ἀειπάρθενον μήτραν, d) ὥς φησι Μωϋσῆς, ἀνοίξαντι. Καὶ γὰρ τὴν λυχνίαν, τὸ ἀρχέτυπον τοῦ μιμήματος παράδειγμα, ἐκ τοῦ ἑνὸς μέρους φησὶ φαίνειν, δηλονότι τοῦ πρὸς θεόν. Ἑβδόμη γὰρ οὖσα καὶ μέση τῶν ἓξ e) καλαμίσκων δίχα διῃρημένων εἰς τριάδα, ἑκατέρωθεν δορυφορούντων, ἄνω τὰς αὐγὰς ἀποστέλλει πρὸς τὸ f) ἕν, g) λαμ-

e) Ita MSS. (et Cod. A.) pro ἧς in Edit. ibid. scribe πρωτέλεια (vt in Cod. A.)

f) MS. (et Cod. A.) θήσειν, sed nil mutandum. Ita noster infra p. 789.

a) MS. Med. παίδων.

b) Scribe ἄληκτοι.

c) Sic pro ἀτοκεῖ MSS. (et Cod. A.)

d) Gen. XXIX, 31.

attrahentes, quibus delectati quidam capiuntur, obliti pactorum, quae sibi intercesserunt cum philosophia: qui vero a pactis non discedit, vndecunque parat quibus dominae placeat. Merito igitur scriptura fidem eius celebrat, affirmans nunc quoque *vxorem Sarram esse,* etiam quando ipsa volente libenteque maritus ancillam duxit in thalamum. Atque sicut liberales artes conferunt ad quaerendam philosophiam, ita philosophia ad parandam sapientiam. Est enim philosophia meditatio sapientiae, sapientia vero scientia rerum humanarum diuinarumque, et causarum insuper. Ergo sicut encyclopaedia philosophiae seruit, sic philosophia sapientiae; at philosophia docet, ventrem, et ea quae sub ventre sunt, tum etiam linguam continere. Haec quamuis per se expetenda, augustiora tamen videntur, quando in honorem Dei et causa religionis exercentur. Oportet igitur nos esse memores dominae, dum famularum eius procos agimus: et quamuis harum mariti dicamur, illa nobis matrona sit, non tantum dicatur.

Tradita autem haec noua nupta, non statim postquam in Chananaeam terram ventum est, sed morato in ea iam per decennium; hoc quid sit, non obiter dispiciendum est. Mox a natiuitate anima nostra coalitis tantum affectibus laborat, tristitiis, doloribus, timoribus, concupiscentiis, voluptatibus, qui per sensus in eam obrepunt, priusquam ratio queat a bonis mala discernere, et quantum altera distent ab alteris cognoscere, nimirum quasi somno etiam tum gra-

i) Melius ὅτε.

k) Haec quoque citantur a Clemente dicto loco p. 333.

l) Clem. l. c. ὑπὸ γαστέρα.

m) MSS. περισκεπτέον.

ῥακιοῦσθαι μέλλωμεν, τὸ δίδυμον στέλεχος εὐθὺς ἐκ μιᾶς, ἀρετὴ καὶ κακία, φύεται ῥίζης· καὶ ποιούμεθα μὲν τὴν κατάληψιν ἀμφοῖν, αἱρούμεθα δὲ πάντως τὴν ἑτέραν, οἱ μὲν εὐφυεῖς ἀρετὴν, κακίαν δ' οἱ ἐναντίοι. Τούτων προυποτυπωθέντων, εἰδέναι χρὴ, ὅτι παθῶν μὲν Αἴγυπτος σύμβολόν ἐστι, κακιῶν δὲ ἡ Χαναναίων γῆ· ὥστ' εἰκότως ἀναστήσας ἀπ' Αἰγύπτου τὸν λαὸν, εἰς τὴν Χαναναίων n) ἄγει χώραν. Ἄνθρωπος γὰρ, ὡς ἔφην, ἅμα μὲν τῇ γενέσει o) τὸ Αἰγύπτιον πάθος ἔλαχεν οἰκεῖν, ἡδοναῖς καὶ ἀλγηδόσι προσερριζωμένος· αὖθις δ' ἀποικίαν στέλλεται τὴν πρὸς κακίαν, ἤδη τοῦ λογισμοῦ πρὸς τὸ ὀξυωπέστερον ἐπιδεδωκότος, καὶ καταλαμβάνοντος μὲν ἀμφότερα, ἀγαθόν τε αὖ καὶ κακὸν, τὸ δὲ χεῖρον αἱρουμένου, διὰ τὸ πολὺ μετέχειν p) τοῦ θνητοῦ, ᾧ τὸ κακὸν οἰκεῖον, ἐπεὶ καὶ τοὐναντίον τῷ θείῳ τὸ ἀγαθόν. Ἀλλ' αἱ μὲν φύσεως πατρίδες αὗται, παιδικῆς μὲν ἡλικίας, τὸ πάθος, Αἴγυπτος, ἡβώσης δὲ, q) κακία, ἡ Χαναανῖτις. Ὁ δὲ ἱερὸς λόγος, καίτοι σαφῶς ἐπιστάμενος τὰς τοῦ θνητοῦ γένους πατρίδας, ἡμῖν ὑποτίθεται τὰ πρακτέα καὶ συνοίσοντα, παραγγέλλων μισεῖν τὰ ἔθνη καὶ τὰ νόμιμα καὶ τὰ ἐπιτηδεύματα αὐτῶν, ἐν οἷς φησι, Καὶ εἶπε κύριος πρὸς Μωσῆν λέγων, r) λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου ἐν ᾗ κατῳκήσατε s) ἐν αὐτῇ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε· τὰ κρίματά μου ποιήσετε, καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε· καὶ τὰ προστάγματά μου φυλάξεσθε, πορεύεσθε ἐν αὐτοῖς. Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· καὶ φυλάξασθε πάντα τὰ προστάγματά μου καὶ τὰ κρίματά μου, καὶ ποιήσετε αὐτά.

n) MSS. (acc. Cod. A.) εἰσάγει, rectius. Sic enim textus Leu. XVIII, 1.

o) Melius τὴν Αἴγυπτον, sequitur enim, τὸ πάθος, Αἴγυπτος.

p) Cod. A. τούτου pro θνητοῦ. P.

q) Ita pro κακίας MS. Coll. Nou. (et Cod. A.)

grauata et vix recludens oculos. Procedente vero tempore, cum pueritiam egressi attingimus adolescentiam, statim geminae stirpes ex vna radice nascuntur, virtus et malitia; quas licet ambas intelligamus, vtique alteram eligimus, probi virtutem, malitiam contrarii. His prius praestructis, sciendum affectus per Aegyptum significari, vitia per terram Chananaeam; itaque merito populus ex Aegypto in Chananaeam ducitur. Homo enim, vt dixi, ex quo natus est, Aegyptios affectus incolit, radicatus in doloribus et voluptatibus; deinde ceu in coloniam migrat ad vitia, ratione iam cernente acutius, et bonum malumque intelligente, malum tamen eligente, quod multum mortalitatis habeat, cui malum est cognatum, sicut contrario bonum ad Deum pertinet. Has natura voluit esse patrias aetatibus, puerili affectum, Aegyptum, pubescenti vitium, Chananitidem. At sacra scriptura licet non ignara patriarum humani generis, submonet nos quid agendum, quidue vtile, praecipiens vt odio habeamus gentes earumque leges et instituta his verbis: *Et locutus est Dominus ad Mosem, dicens: Loquere filiis Israel, et dices ad eos. Ego Dominus Deus vester: iuxta consuetudinem Aegypti in qua habitastis non facietis, nec in legibus eorum ambulabitis. Iudicia mea facietis, et iuxta morem regionis Chanaan, in quam ego introducturus sum vos, non facietis. Praecepta mea facite, et ambulate in eis. Ego Dominus Deus vester. Custodietis omnia praecepta mea et iudicia mea, et facietis ea. Qui fecerit ea, vi-*



r) Leu. XVIII, 1.

s) MSS. (et Cod. A.) *ἐπ᾽ αὐτῆς.* it. textus: adducuntur autem haec memoriter et confuse a Philone, vel verba sunt a librariis transposita. Cod. Med. eundem cum textu S. verborum ordinem sequitur. (Cod. A. omittit *καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε.*)

αὐτά. Ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς. Ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· t) καὶ φυλάξασθε πάντα τὰ προστάγματά μου καὶ τὰ κρίματά μου. Οὐκοῦν ἡ πρὸς ἀλήθειαν ζωὴ u) περὶ παντός ἐστιν ἐν ταῖς θεοῦ κρίσεσι καὶ προστάξεσιν, ὥστε θάνατος ἂν εἴη τὰ τῶν ἀθέων ἐπιτηδεύματα· x) τινὰ δὲ ἀθεώρητα πάθους καὶ κακιῶν ἐστιν, ἐξ ὧν τὰ ἀσεβῶν καὶ ἀνοσιουργῶν πλήθη φύεται. Μετὰ δεκαετίαν οὖν τῆς πρὸς Χαναναίους μετοικίας ἀξιώμεθα τὴν Ἄγαρ, ἐπειδήπερ εὐθὺς μὲν γενόμενοι λογικοὶ, τῆς φύσει βλαβερᾶς ἀμαθίας καὶ ἀπαιδευσίας μεταποιούμεθα· χρόνῳ δ' ὕστερον καὶ ἐν ἀριθμῷ τελείῳ, δεκάδι y) νομίμῳ, παιδείας τῆς ὠφελεῖν δυναμένης εἰς ἐπιθυμίαν ἐρχόμεθα. Τὸν δὲ περὶ δεκάδος λόγον ἐπιμελῶς μὲν ἠκρίβωσαν μουσικῶν παῖδες, ὕμνησε δ' οὐ μετρίως ὁ ἱερώτατος Μωσῆς, ἀναθεὶς αὐτῇ τὰ κάλλιστα, τὰς z) εὐχὰς, τὰς ἀπαρχὰς, τὰ τῶν a) ἱερέων ἐνδελεχῆ δῶρα, τὴν τοῦ πάσχα διατήρησιν, τὸν b) ἱλασμὸν, τὴν διὰ πεντηκονταετίας ἄφεσίν τε καὶ εἰς τὰς ἀρχαίας λήξεις ἐπάνοδον, τὴν κατασκευὴν τῆς ἀδιαλύτου c) σκηνῆς, ἄλλα μυρία, ὧν μακρὸν ἂν εἴη μεμνῆσθαι, τὰ δὲ καίρια οὐ παρετέον. Αὐτίκα τὸν Νῶε ἡμῖν· πρῶτος δ' οὗτος δίκαιος ἐν ταῖς ἱεραῖς ἀνεῤῥήθη γραφαῖς· ἀπὸ τοῦ διαπλασθέντος ἐκ γῆς εἰσάγει δέκατον, οὐκ ἐνιαυτῶν πλῆθος ἐπιστῆσαι βουλόμενος, ἀλλὰ διδάξαι σαφῶς, ὅτι ὥσπερ δεκὰς

t) Καὶ φυλάξασθε — — κρίματά μου desunt Cod. Med. neque etiam scribuntur in textu. Omnino videntur redundare.

u) Forte περίπατός ἐστιν, sic reponit Markland.

x) Markland reponit ἅτινα δή.[1]

y) Melius νομίμου, sc. παιδείας.

z) MS. Med. ἀρχὰς, sed nil muto. Sic enim p. 535. lin. 33.

a) Decimae istae Sacerdotum erant decima pars Ephae, quae in iugi sacrificio absumta est. Hunc vero Philonis locum respicit Clemens. Strom. II. p. 455. διὰ τοῦτο αἱ δεκάται

*uet in eis. Ego Dominus Deus vester. Custodite omnia praecepta mea, et iudicia mea.* Ergo vera vita praecipue consistit in Dei praeceptis et iudiciis, adeo vt mores impiorum adferant perniciem: quidam autem non perpendunt affectus et vitia, vnde impiorum et facinorosorum multitudo exoritur. Ergo post exactum in Chananaea terra decennium Agarem ducamus; siquidem iam primum rationis participes, noxiam suapte natura ruditatem et ineruditionem sectamur: aliquanto post in numero perfecto, denario, eruditionem probam nobis olim profuturam appetimus. Interiorem autem naturam denarii numeri diligenter exquisiuerunt musicorum filii, laudatam non mediocriter etiam a Mose sanctissimo: qui ad hunc numerum refert res pulcherrimas, vota, primitias, oblationes sacerdotum quotidianas, obseruationem paschatis, propitiationem, redeuntem quinquagesimo quoque anno remissionem, et restitutionem in integrum, apparatum tabernaculi indissolubilis, aliaque innumera, quae memorare prolixum fuerit, tantum potiora non silebimus. Ante omnia Noe illum, qui primus in sacra scriptura iustus pronunciatus est, a protoplasto inducit decimum, non ad indicandam annorum multitudinem, sed vt aperte doceat: quod sicut denarius numerorum qui

 dein-

ται τῦτε οἷφι τῶν τε ἱερείων τῷ θεῷ προσεκομίζοντο Vbi suspicor mendum in voce ἱερείων. Neque enim decimae e sacrificiis erant Deo persolutae, sed vniuersa, vel eorum maxima pars, Deo cedebant. Scribe ergo sic, αἱ δεκάται τῦ οἷφι ἀπὸ τῶν ἱερέων. Leu. VI, 29. vid. seqq

b) Istud nimirum mysticus scriptor in numeri denarii laudem trahit, quod decimo die mensis septimi quotannis solennis expiatio constitueretur. Item quod annus remissionis et iubilei initium duceret ab illo ipso decimo die. vid. Leu. XXIII, 27. XXV, 9.

c) Ex decem enim aulaeis compactum est tabernaculum. Exod. XXVI, 1. 16.

κὰς ἀριθμῶν τῶν ἀπὸ μονάδος ἐςὶ πέρας τελειότατον, ἕτω τὸ δίκαιον ἐν ψυχῇ, τέλειον καὶ πέρας ὄντως τῶν κατὰ τὸν βίον πράξεων. Τὴν μὲν γὰρ πολλαπλασιαζομένην ἐφ᾽ ἑαυτὴν τριάδα πρὸς ἐννάτε γένεσιν ἀριθμε͂, πολεμιωτάτην ἔξεῖπον οἱ χρησμοί· τὴν δὲ ἐπιβεβηκυῖαν μονάδα πρὸς ἐκπλήρωσιν δεκάδος, ὡς φίλην ἀπεδέξαντο. Σημεῖον δὲ, τὰς ἐννέα τῶν βασιλέων ἀρχὰς, ἡνίκα ἡ ἐμφύλιος ἀνερριπίσθη ςάσις, τῶν τεσσάρων παθῶν πρὸς τὰς πέντε αἰσθήσεις d) κονισαμένων, καὶ πόρθησιν καὶ κατασκαφὴν κινδυνευέσης τρόπον πόλεως τῆς ὅλης ἀναδέχεσθαι ψυχῆς, ἐκςρατεύσας ὁ σοφὸς Ἀβραὰμ κατέλυσε δέκατος ἐπιφανείς. Οὗτος ἀντὶ χειμῶνος γαλήνην, καὶ ὑγεῖαν ἀντὶ νόσε, καὶ ζωὴν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀντὶ θανάτε παρεσκεύασε· τε͂ νικηφόρε θεε͂ τροπαιοφόρον αὐτὸν ἀναδείξαντος, ᾧ καὶ τὰς δεκάτας χαριςήρια τῆς νίκης ἀνατίθησι. Καὶ παντὸς μέντοι τε͂ ἐλθόντος ὑπὸ τὴν ῥάβδον, λέγω δὲ τὴν παιδείαν, ἡμέρε καὶ τιθασσε͂ e) θρέμματος τὸ δέκατον ἀποκρίνεται, νόμε προστάξει γινόμενον ἅγιον· ἵνα ἐκ πολλῶν διδασκώμεθα τὴν δεκάδος πρὸς θεὸν οἰκειότητα, καὶ τὴν τε͂ ἐννάτε ἀριθμε͂ πρὸς τὸ θνητὸν ἡμῶν γένος. Ἀλλὰ γὰρ ἐκ ἀπὸ ζώων μόνον ἀπάρχεσθαι δεκάτας, ἀλλὰ καὶ ἀπὸ τῶν ὅσα ἐκ γῆς βλαςάνει, διείρηται. f) Πᾶσα γὰρ, φησι, δεκάτη τῆς γῆς, ἀπὸ τε͂ σπέρματος καὶ τε͂ καρπε͂ τε͂ ξυλίνε, ἐςὶν ἅγιον τῷ κυρίῳ· καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν διέλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔςαι ἅγιον τῷ κυρίῳ. Ὁρᾷς ὅτι καὶ ἀπὸ τε͂ περὶ ἡμᾶς ὄγκε σωματικε͂, ὃς γεώδης g) καὶ ξύλινος ὄντως ἐςὶν, οἴεται δεῖν ἀπάρχεσθαι; ἡ γὰρ ζωὴ καὶ ἡ διαμονὴ καὶ αὔξησις καὶ ὑγεία αὐτῷ, θεία γίνεται χάριτι. Ὁρᾷς ὅτι καὶ ἀπὸ τῶν ἐν ἡμῖν αὐτοῖς ζώων ἀλόγων (ταῦτα δὲ εἰσιν αἰσθήσεις) πάλιν ἀπάρχεσθαι διείρηται; τὸ γὰρ ὁρᾷν καὶ ἀκέειν καὶ ὀσφραίνεσθαι καὶ γεύεσθαι, ἔτι τε ἅπτεσθαι, δωρεαὶ θεῖαι, ὑπὲρ ὧν εὐχαριςητέον·

d) Forſan ἐγκονισαμένων. Ita enim vox agoniſtica eſt, et ſaepius a Philone vſurpatur.

deinceps vnitatem sequuntur, est perfectissimus, ita iustitia in anima reuera finis est vitae actionum. Ternio enim per seipsum multiplicatus vt faciat nouenarium, bellicosus habetur numerus in scripturis; superueniens autem vnitas ad explendum denarium, pacifica existimatur. Documento sint nouem regum imperia: quando ciuile bellum est ortum, affectibus quatuor contra quinque sensus insurgentibus, et totam animam quasi ciuitatem adducentibus in ruinae vastitatisque periculum, quod bellum sapiens ille Abraham decimus cum suorum manu superueniens sustulit. Hic pro tempestate tranquillitatem, sanitatem pro morbo, vitam, si verum fatendum est, pro morte attulit, fauente Deo victoriam assecutus, cui victoriae munera gratus *obtulit decimas*. Quin et pecudum omnium *quae sub virgam*, id est disciplinam veniunt, et quae sunt cicuris mansuetique generis, decimas lex segregat, *iubens vt consecrentur*: vt tam multis exemplis discamus quam familiaris Deo sit denarius, nouenarius vero numerus mortali nostro generi. Nec tantum animalium, verum etiam omnium terrae fructuum decimae exiguntur primitiarum nomine. *Omnes*, inquit, *decimae, siue frugum siue arboreorum fructuum, consecratae sunt Domino: et omnes decimae boum ac ouium, et omnis pecoris quod sub virga numeratur decimae, sacratae erunt Domino.* Viden' vt etiam de hac mole nostra corporea, vere terrena et lignea, primitias imperat? nam vita, longaeuitas, incrementum, sanitas, per diuinam ei contingunt gratiam. Viden' vt etiam de brutis quae nobis insunt animalibus, hoc est sensibus, idem praecipitur? nam visus, auditus, odoratus, gustus tactusque, diuina sunt munera, gratiarum



e) MSS. πεάγματος. (Cod. A. θερμματος, addita in margine nota γρ. πεάγματος.)

f) Leu. XXVII, 30. 31.

g) Καὶ Cod. A. deest.

ριστέον. Ἀλλὰ γὰρ οὐ μόνον ἐπὶ τοῖς ξυλίνοις καὶ γηΐνοις, h) σωματικοῖς, οὐδ' ἐπ' ἀλόγοις ζώοις, ταῖς αἰσθήσεσι, τὸν εὐεργέτην ἐπαινεῖν διδασκόμεθα, ἀλλὰ καὶ ἐπὶ τῷ νῷ, ὅς, κυρίως i) εἰπεῖν, ἄνθρωπός ἐστιν ἐν ἀνθρώπῳ, κρείττων ἐν χείρονι, ἀθάνατος ἐν θνητῷ. Διὰ τοῦτο οἶμαι τὰ πρωτότοκα καθιέρωσε πάντα, τὴν δεκάτην, k) λέγω Λευιτικὴν φυλὴν, ἀντικαταλλαξάμενος, πρὸς διατήρησιν καὶ φυλακὴν ὁσιότητος καὶ εὐσεβείας καὶ λειτουργιῶν, αἳ πρὸς τὴν τοῦ θεοῦ τιμὴν ἀναφέρονται. Τὸ γὰρ πρῶτον καὶ ἄριστον ἐν ἡμῖν αὐτοῖς, ὁ λογισμός ἐστι, καὶ ἄξιον τὰς συνέσεως καὶ ἀγχινοίας, καταλήψεώς τε καὶ φρονήσεως, καὶ τῶν ἄλλων δυνάμεων, ὅσαι περὶ αὐτόν εἰσιν, ἀπαρχὰς ἀνατιθέναι θεῷ, τῷ τὴν εὐφορίαν τοῦ διανοεῖσθαι παρασχόντι. Ἐνθένδε ὁ μὲν ἀσκητὴς ὁρμηθεὶς, εὐχόμενος εἶπε, Πάντων ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοί. Ὁ δὲ χρησμὸς ὁ μετὰ τὰς ἐπινικίους εὐχὰς ἀναγραφεὶς, ἃς ὁ τὴν αὐτομαθῆ καὶ αὐτοδίδακτον λαχὼν ἱερωσύνην ποιεῖται Μελχισεδὲκ, Ἔδωκε γάρ, φησιν, αὐτῷ δεκάτην ἀπὸ πάντων· l) ἀπὸ τῶν κατ' αἴσθησιν τὸ καλῶς αἰσθάνεσθαι, ἀπὸ τῶν κατὰ λόγον τὸ εὖ λέγειν, ἀπὸ τῶν κατὰ νοῦν τὸ εὖ διανοεῖσθαι. Παγκάλως οὖν καὶ ἀναγκαίως ἅμα ἐν εἴδει παραδιηγήματος, ἡνίκα τῆς οὐρανίου καὶ θείας τροφῆς τὸ m) μνημεῖον ἐν στάμνῳ χρυσῷ καθιεροῦτο, φησιν, ὡς ἄρα τὸ Γομὸρ δέκατον τῶν τριῶν μέτρων ἦν. Ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα εἶναι δοκεῖ, αἴσθησις, λόγος, νοῦς· αἰσθητῶν μὲν αἴσθησις, ὀνομάτων δὲ καὶ ῥημάτων καὶ τῶν λεγομένων ὁ λόγος, νοητῶν δὲ νοῦς. Ἀφ' ἑκάστου δὴ τῶν τριῶν

μέτρων

h) Deesse videtur ὄγκοις, supra enim ὄγκου σωματικοῦ, ὃς γεώδης καὶ ξύλινος. Sic vero scribendum, γηΐνοις ὄγκοις, τῷ σώματι &c.

i) Εἰπεῖν restitui ex MS. Vat. (Cod. A. deest.)

k) MS. Vat. λόγῳ. sc. proportione, sed neque sic placet, etenim tribus Leuitica non erat vna ex decem, sed duodecim.

tiarum actione dignissima. Verum non ob haec solum terrena et lignea, *moles* scil. corporeas, nec ob brutas animantes, sensus videlicet, benefactorem laudare docemur: sed et ob mentem, quae, proprie loquendo, homo est in homine, potior in deteriore, immortalis in morti obnoxio. Ideo vt puto, primogenita omnia sibi consecrauit, pro quibus decimam, Leuiticam, inquam, tribum accepit, vt essent qui conseruarent custodirentque sanctitatem et religionem ceremoniarum, quae ad Dei cultum referuntur. Praecipua enim nostri pars est ratio, et par est, vt intelligentiae, solertiae, sagacitatis, prudentiae, et caeterarum eius facultatum, offerantur Deo primitiae, qui has dotes cumulauit largiter. Hac occasione permotus ille exercitator, inter precandum ait: *Omnium quae mihi dederis, seponam tibi decimas.* Item oraculum post victoriales preces scriptum, quas ille a seipso doctus consecratus sacerdos, Melchisedec, precatur, sic loquitur: *Dedit ei decimas omnium*, de sensibus bene sentire, de loquendi facultate bene dicere, de mente bene cogitare. Pulcherrime igitur simulque necessarie obiter rem narrans, quando coelestis illius et diuini alimenti monumentum in vrna aurea consecratum est, ait: *quod Gomor erat decima pars trium mensurarum.* In nobis enim ipsis tres mensurae videntur esse, sensus, oratio et mens: sensibilium sensus, verborum et nominum oratio, mente perceptorum mens.



decim. Scribe, λέγω δὲ, sic supra p. 182. lin. 17. Cur vero Leuitica tribus scribitur δεκάτη a Philone, nequeo sane diuinare, videtur esse mendum in voce. Anne scribendum ἀπαρχήν;

l) Ἀπὸ restitui ex MS. Coll. Nou. (acc. Cod. A.)

m) Quidni μνημόσυνον; sic enim Clemens in suo Philonis codice videtur legisse, Strom. II. p. 455. (Mox Cod. A. σαμένῳ.)

μέτρων τούτων, ἀπαρκτέον ὥσπερ n) τὴν ἱερὰν δεκάτην, ἵνα καὶ τὸ λέγειν, καὶ τὸ αἰσθάνεσθαι, καὶ τὸ καταλαμβάνειν, ἀνυπαιτίως καὶ o) ὑγιεινῶς κατὰ θεὸν ἐξετάζηται. Τὸ γὰρ ἀληθινὸν καὶ δίκαιον μέτρον τοῦτ' ἐστι, τὰ δὲ καθ' ἡμᾶς ψευδῆ τε καὶ ἄδικα. Εἰκότως οὖν καὶ ἐπὶ τῶν θυσιῶν, τὸ μὲν δέκατον τοῦ μέτρου τῆς σεμιδάλεως, τοῖς ἱερεῦσιν ἐπὶ τὸν βωμὸν p) συναπενεχθήσεται. Ὁ δὲ ἔννατος ἀριθμὸς, τὸ λείψανον τοῦ δεκάτου, παρ' ἡμῖν αὐτοῖς καταμενεῖ. Τούτοις συνᾴδει καὶ ἡ τῶν ἱερέων ἐνδελεχὴς θυσία· τὸ γὰρ δέκατον, τὸ τοῦ q) ὕφι σεμιδάλεως ἀεὶ διείρηται προσφέρειν αὐτοῖς. Ἔμαθον γὰρ τὸν ἔννατον r) ὑπερβαίνοντες αἰσθητὸν δοκήσει θεὸν, τὸν δέκατον καὶ μόνον ὄντα ἀψευδῶς, προσκυνεῖν. Ἐννέα γὰρ ὁ κόσμος ἔλαχε μοίρας, ἐν οὐρανῷ μὲν ὀκτὼ, τήν τε ἀπλανῆ, καὶ τὰς s) ἑπτὰ πεπλανημένας ἐν τάξεσι φερομένας ταῖς αὐταῖς, ἐννάτην δὲ τὴν t) σὺν ὕδατι καὶ ἀέρι· τούτων γὰρ μία συγγένεια, τροπὰς καὶ μεταβολὰς παντοίας δεχομένων. Οἱ μὲν οὖν πολλοὶ τὰς ἐννέα ταύτας μοίρας, καὶ τὸν παγέντα κόσμον ἐξ αὐτῶν ἐτίμησαν· ὁ δὲ τέλειος τὸν ὑπεράνω τῶν ἐννέα, δημιουργὸν αὐτῶν, θεὸν δέκατον. Ὅλον γὰρ ὑπερκύψας τὸ ἔργον, ἐπόθει τὸν τεχνίτην, καὶ ἱκέτης καὶ θεραπευτὴς ἐσπούδαζεν αὐτοῦ γενέσθαι· διὰ τοῦτο δεκάτην ἐνδελεχῆ τῷ δεκάτῳ καὶ μόνῳ καὶ αἰωνίῳ ὁ ἱερεὺς ἀνατίθησι. Τοῦτ' ἐστι, κυρίως εἰπεῖν, τὸ ψυχικὸν πάσχα, ἡ u) παντὸς πάθους καὶ παντὸς αἰσθητοῦ διάβασις πρὸς τὸ δέκατον, ὃ δὴ νοη-

τὸν

n) MSS. τίνα, omisso ἱεράν. (acc. Cod. A.)

o) Melius ὑγιῶς.

p) MS. Med. συναναχθήσεται, et sic melius.

q) Scribe οἰφὶ, sic enim Exod. XVI. 20. conf. Suid. et Hesych.

r) Clem. Alex. Strom. I. c. legisse videtur ὑπεραναβαίνοντες. Sic enim ille χρὴ δὲ, ὡς ἔπος εἰπεῖν, τῶν ἄλλων πάντων ὑπεραναβαίνοντας ἐπὶ τὸν νοῦν ἵστασθαι, ὥσπερ ἀμέλει κἂν τῷ κόσμῳ τὰς ἐννέα μοίρας ὑπερ-

πηδή-

De his ſingulis tribus menſuris primitiae ſunt offerendae quaſi quaedam ſacrae decimae, vt et oratio et ſenſus et animus inculpabiliter ſaneque iuxta Deum ſe habeant. Haec enim demum vera eſt iuſtaque menſura, noſtrae autem falſae iniuſtaeque. Merito igitur et in ſacrificiis decima pars menſurae ſimilae vna cum victimis in altare infertur, manente nobis quod ex denario reliquum erat, nouenario numero. Huc facit et quotidianum ſacerdotum ſacrificium. His enim praeceptum eſt, vt decimam partem ephi ſimilae ſemper offerant. Didicerant enim tranſcenſo nouenario ſenſibili et ſpecie tantum Deo, decimum et ſolum reuera exiſtentem colere. In nouem enim partes mundus diſtribuitur, octo in coelo, ſupremum fixorum orbem et ſeptem reliquos erraticorum ſiderum ſimiles curſus habentium: nonam autem terram cum aqua et aere. Horum enim vna eſt cognatio, varias mutationes recipientium. Vulgus igitur has nouem partes et compactum ex his mundum colebat: at vir perfectus ſuperiorem his opificem earum Deum, decimum. Emergens enim ſuper omnia eius opera deſiderabat artificem ipſum, ſupplex eius et cultor fieri cupiens: ideo decimas perpetuas decimo illi qui ſolus aeternus dedicat, eſt ſacerdos. Hoc etiam, proprie loquendo, animae paſcha eſt, omnium affectuum et omnium ſenſibilium tranſitus ad decimum illud, quod eſt diuinum

πηδήσαντα — ἐπὶ τὸν τέλειον τὸν ὑπεράνω τῶν θεῶν, vbi Potter reponendum monet ex hoc Philonis loco, τῶν ἔννεα. Quidni vero pro θεῶν ſcribas αἰσθητῶν; Sic infra apud noſtrum, lin. vlt. huius pag. (Cod. A. ὑπερπεβαίνοντες.)

s) Ἑπτὰ reſtitui ex MSS. quinetiam agnoſcitur in dicto Clementis loco (accedit Cod. A.) Ibid. pro τὴν, repone γῆν.

t) Cod. A. ἐν ὕδατι. P.

u) Forte ἀπὸ παντός.

τόν ἐςι καὶ θεῖον. Λέγεται γὰρ, x) Τῇ δεκάτῃ τȣ̃ μηνὸς y) τȣ̃ δεκάτȣ λαβέτωσαν ἕκαςος πρόβατον κατ᾽ οἰκίαν, ἵνα ἀπὸ τῆς δεκάτης τῷ δεκάτῳ καθιερωθῇ τὰ θύματα διατηρηθέντα ἐν τῇ ψυχῇ κατὰ δύο μοίρας ἐκ τριῶν πεφωτισμένῃ, μέχρις ἂν ὅλη δι᾽ ὅλων γενομένη φέγγος ȣ̓ράνιον, οἷα πλησιφαὴς σελήνη, κατὰ z) δευτέρας ἑβδομάδος παραύξησιν, μὴ μόνον φυλάττειν, ἀλλὰ καὶ ἱερȣργεῖν ἤδη δύνηται τὰς ἀσινεῖς καὶ ἀμώμȣς a) προκοπάς, τȣτέςιν ἱλασμȣ́ς. Καὶ γὰρ οὗτος δεκάτῃ τȣ̃ μηνὸς βεβαιȣ̃ται, τὸν δέκατον ἱκετευȣ́σης θεὸν ψυχῆς, καὶ τὴν ταπεινότητα καὶ ȣ̓δένειαν τȣ̃ γεννητȣ̃ b) περίνοιαν λογισμȣ̃ πεποιθυίας, καὶ τὰς ἐν ἅπασι τοῖς c) καλοῖς ὑπερβολὰς καὶ ἀκρότητας τȣ̃ ἀγεννήτȣ δεδιδαγμένης. Ἵλεως ȣ̓̂ν, καὶ ἄνευ ἱκετείας ἵλεως εὐθὺς γίνεται τοῖς ἑαυτȣ̀ς κακȣ̃σι καὶ συςέλλȣσι, καὶ μὴ καυχήσει καὶ οἰήσει φυσωμένοις. Τȣ̃τ᾽ ἐςιν ἄφεσις, τȣ̃τ᾽ ἐλευθερία παντελὴς ψυχῆς, ὃν ἐπλανήθη τε πλάνον ἀποσειομένης, καὶ πρὸς τὴν ἀπλανῆ φύσιν μεθορμιζομένης, καὶ ἐπὶ τȣ̀ς κλήρȣς ἐπανιȣ́σης, ȣ̓̀ς ἔλαχεν, ἡνίκα λαμπρὸν ἔπνει, καὶ τοῖς περὶ τῶν καλῶν e) πόνοις ἤνθει. Τότε γὰρ αὐτὴν τῶν ἄθλων ἀγάμενος ὁ ἱερὸς λόγος ἐτίμησε, γέρας ἐξαίρετον δȣ̀ς, f) κλῆρον ἀθάνατον, τὴν ἐν ἀφθάρτῳ γένει τάξιν. g) Τȣ̃το καὶ Ἀβραὰμ ὁ σοφὸς ἱκετεύει, μελλȣ́σης ἐμπίμπρασθαι λόγῳ μὲν τῆς Σοδομίτιδος γῆς, ἔργῳ δὲ τῆς ἐςειρωμένης τὰ καλὰ καὶ τυφλῆς τὸν λογισμὸν ψυχῆς, ἵν᾽ ἐὰν εὑρεθῇ τὸ δικαιοσύνης h) μνη-

x) Exod. XII, 3.

y) Scribe τȣ́τȣ pro τȣ̃ δεκάτȣ. Neque enim Pascha menſe decimo, ſed primo celebratum eſt. Sic quoque textus.

z) Ita MSS. Vat. et Med. pro δευτέραν (in Edit. et Cod. A.) Secunda enim hebdomade, ſc. die decima quarta erat plenilunium.

a) Sic locum legi et diſtingui debere coniicio, προκοπάς. Τȣ̃τ᾽ ἐςιν ἱλασμός· atque ſic verto. (In Praetermiſſis ita legen-

uinum et incorporeum. Scriptum est enim: *Decima die mensis huius sumat vnusquisque agnum per domos singulas*: vt a die decima illi decimo consecrentur victimae seruatae in anima, duas e tribus partes illustratas habente, donec in totum versa in splendorem coelestem, velut luna toto orbe fulgida, per duas septimanas aucta, non solum custodire, sed et sacrificare iam valeat integras et inculpatas hostias. Idem de propitiatione dicendum: haec enim fit mensis decima, anima illum decimum Deum inuocante suppliciter, prae sagacitate edocta quam humiles et nihili creaturae sint, et quam immenso interuallo excellat in omni praestantiae genere ille ingenitus. Quapropter propitius vel absque supplicatione fit, seipsos damnantibus et contrahentibus, non iactabundis et fastu turgidis. Haec est etiam remissio, haec libertas absoluta animae, pristinum errorem excutientis, et transeuntis ad nunquam errantem naturam, redeuntisque ad sortem quam olim acceperat, cum magnifice spiraret, et honestis laboribus exerceretur. Tunc enim approbatis eius certaminibus sacra scriptura, dedit ei praemium eximium, sortem immortalem, scil. locum in genere incorruptibili. Hoc et ille sapiens Abraham supplex orat, imminente incendio, verbotenus quidem terrae Sodomiticae, re autem animae bonarum rerum sterilis et orbatae rationis oculis: vt si *inueniatur*

legendum censet locum Mangeius, προκοπάς. Ταὐτὸ καὶ περὶ ἱλασμοῦ· καὶ γὰρ &c.)

b) Scribe περινοίας.

c) Sic MSS. Med. et Coll. Nou. (acc. Cod. A.) pro ἄλλοις in Edit.

e) Forte τοὺς — — πόνους ἤθλη. Vid. lib. de Prof. p. 473.

f) Cod. A. καὶ λόγον pro κλῆρον. P.

g) Melius διὰ τοῦτο.

h) μνημεῖον i) ἡ δεκὰς ἐν αὐτῇ, τύχῃ τινὸς ἀμνηστίας. Ἄρχεται μὲν οὖν τῆς ἱκεσίας ἀπὸ τοῦ τῆς ἀφέσεως ἀριθμοῦ πεντηκοντάδος, λήγει δὲ εἰς δεκάδα, τὴν τελευταίαν ἀπολύτρωσιν. Ἀφ' οὗ μοι δοκεῖ καὶ Μωσῆς k) μετὰ τὴν χιλιάρχων καὶ ἑκατοντάρχων καὶ πεντηκοντάρχων αἵρεσιν, ἐπὶ πᾶσι l) δεκαδάρχους χειροτονεῖν, ἵν' εἰ μὴ δύναιτο διὰ τῶν n) πρεσβυτέρων τάξεων βελτιοῦσθαι ὁ νοῦς, ἀλλά τοι διὰ τῶν ὑστάτων καθαίρηται. Πάγκαλον o) δὲ δόγμα καὶ ὁ τοῦ Φιλομαθοῦς παῖς ἔμαθεν, ἡνίκα τὴν θαυμαστὴν ἐκείνην ἐπρέσβευε πρεσβείαν, αὐτομαθεῖ σοφῷ προξενῶν οἰκειοτάτην ἀρετὴν, ἐπιμονήν. p) Δέκα γὰρ καμήλους λαμβάνει, τὴν δεκάδος, λέγω δὲ παιδείας ὀρθῆς ἀνάμνησιν, ἀπὸ πολλῶν q) ἀποπειρωμένου τοῦ κυρίου μνημῶν· λαμβάνει δὲ καὶ τῶν ἀγαθῶν ἐκείνου, δῆλον ὡς οὐκ ἄργυρον, οὐδὲ χρυσόν τιν', ἢ r) ἄλλο τῶν ἐν ὕλαις φθαρταῖς· τὴν γὰρ ἀγαθοῦ πρόσρησιν οὐδέποτε τούτοις ἐπεφήμισε Μωσῆς· ἀλλὰ τὰ γνήσια, ἃ δὴ ψυχῆς ἐστι μόνα, ἐφοδιάζεται καὶ ἐμπορεύεται· διδασκαλίαν, προκοπὴν, σπουδὴν, πόθον, ζῆλον, ἐνθουσιασμοὺς, προφητείας, τοῦ κατορθοῦν ἔρωτα. Οἷς ἐμμελετῶν καὶ ἐνασκούμενος, ὅταν ὥσπερ ἐκ πελάγους ἐνορμίζεσθαι λιμένι μέλλῃ, s) λήψεται μὲν δύο ἐνώτια, ἀνὰ δραχμὴν ὁλκὴν, ψέλλια δὲ δέκα χρυσῶν ἐπὶ τὰς χεῖρας τῆς προξενουμένης. Ὢ θεοπρεποῦς κόσμου· δραχμὴν t) μὲν εἶναι τὸ ἄκουσμα, καὶ μονάδα ἀῤῥαγῆ καὶ ὁλκὸν φύσιν. Ἀκοῇ γὰρ οὐδενὶ σχολάζειν ἐμπρεπὲς, ὅτι μὴ λόγῳ ἑνὶ, ὃς ἂν τὰς τοῦ ἑνὸς ἀρετὰς καὶ μόνου θεοῦ καλῶς διεξέρχηται. Δέκα δὲ χρυσῶν τὰ ἐγχειρήματα· πράξεις γὰρ αἱ κατὰ σοφίαν τελείοις ἀριθμοῖς βεβαιοῦνται, καὶ ἔστιν

ἑκάστη

h) Melius σημεῖον.

i) Gen. XVIII, 22.

k) Exod. XVIII, 25.

l) Sic MS. Med. pro δεκάρχους (in Edit. et Cod. A.)

n) MS. Med. (et Cod. A.) πρεσβυτάτων. P.

o) Sic MS. Coll. Nou. Editi (et Cod. A.) vna voce δίδαγμα.

*tur in ea denarius* memoriale iuſtitiae, detur ei venia. Orditur autem ſupplicationem a remiſſionis numero quinquagenario, et in denarium deſinit, extremam redemptionem. Et hoc eſt cur mihi videtur Moſes quoque poſt tribunos, centuriones, quinquagenarios praefectos, poſtremo decuriones conſtituere: vt ſi mens non poſſit per ſeniores ordines proficere, ſaltem purgetur per vltimos. Pulcherrimum vero documentum, etiam illius ſtudioſi ſcientiae, *Abrahami*, ſeruus didicit, quando egregia illa legatione fungens, per ſeipſum ſapienti *Iſaaco* petebat in vxorem *patientiam*, virtutem cognatiſſimam. *Decem enim camelos aſſumit*, denarii, hoc eſt rectae inſtitutionis reminiſcentiam a multis iisque infinitis, *Domini* memoriis *collectam: ſumit et de bonis eius:* non argentum aurumue, aut aliquam materiem corruptibilem: (haec enim Moſes bona nunquam diceret:) ſed illa germana quae ſolius ſunt animae viatico negotiationique deſtinat: ſcil. doctrinam, profectum, ſtudium, deſiderium, zelum, diuinationem, prophetiam, amorem bonorum operum. Quibus rebus exercitatus aſſidue, iam velut ex alto portum aſpiciens, promet *inaures duas, ſingulas drachmam pendentes, et armillas pondo aureorum decem, quas tradat puellae, quam in vxorem petit.* O diuinum ornamentum, *drachmam* eſſe tum auditionem, tum vnitatem, naturam infractam et potentem. Auditus enim non debet cuiquam vacare, niſi vni orationi, quae virtutes vnius ſolius Dei decenter exprimit. Aureos autem decem

p) Gen XXIV, 10.

q) MS. Med. recte *ἀπείρων μὲν οὖν*, atque adeo ſic verto.

r) MS. Med. *ἀλλά*. (Cod. A. accedit et *ἢ* praecedens omittit.)

s) Gen. XXIV, 22.

t) Markland reponit *μίαν*, et ſic recte.

ἑκάστη τιμιωτέρα u) χρυσοῦ. Τοιαύτη τίς ἐστι καὶ ἡ ἀριστίνδην ἐπικριθεῖσα τῶν ἀρχόντων εἰσφορά, ἣν ἐποιήσαντο, ἡνίκα ἡ ψυχὴ x) κατασκευασθεῖσα ὑπὸ y) φιλοσοφίας, ἱεροπρεπῶς τὰ ἐγκαίνια ἦγεν αὐτῆς, εὐχαριστοῦσα τῷ διδασκάλῳ καὶ ὑφηγητῇ θεῷ. z) Θυΐσκην γὰρ δέκα χρυσῶν, πλήρη θυμιάματος ἀνατίθησιν, ἵνα τὰς ὑπὸ φρονήσεως καὶ πάσης ἀρετῆς ἀναδιδομένας αὔρας, ὁ μόνος ἐπικρίνῃ σοφός· ἐπειδὰν δὲ δόξωσιν εἶναι προσηνεῖς, τὸ ἐφύμνιον ᾄσεται Μωσῆς λέγων, Ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας· τὸ ὀσφρανθῆναι τιθεὶς ἐπὶ τῷ συναινέσαι· οὐ γὰρ ἀνθρωπόμορφος, οὐδὲ μυκτήρων, ἢ τινῶν ἄλλων ὀργανικῶν μερῶν χρεῖος. Προϊὼν δὲ καὶ τὸ θεῖον ἐνδιαίτημα, τὴν σκηνὴν, δέκα αὐλαίας a) ἐρεῖ· τὸ γὰρ τῆς ὅλης πῆγμα σοφίας, ἀριθμὸν τέλειον εἴληχε, δεκάδα· σοφία δὲ αὐλὴ καὶ βασίλειόν ἐστι τοῦ πανηγεμόνος καὶ μόνου βασιλέως αὐτοκράτορος. Ὁ μὲν b) δὲ νοητὸς οἶκος οὗτος, αἰσθητὸς δ᾽ ὁ κόσμος ἐστὶν, ἐπειδὴ καὶ τὰς αὐλαίας ἐκ τοιούτων συνύφηνεν, ἃ τῶν τεσσάρων στοιχείων c) σύμβολά ἐστιν. Ἐκ γὰρ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δημιουργοῦνται, τεσσάρων, ὡς ἔφην, d) ἀριθμῶν. Σύμβολον δὲ γῆς μὲν ἡ βύσσος, φύεται γὰρ ἐκ ταύτης· ἀέρος δὲ ὑάκινθος, μέλας γὰρ οὗτος φύσει. Ὕδατος δὲ ἡ πορφύρα, τὸ γὰρ τῆς βαφῆς αἴτιον ἐκ θαλάττης ἡ ὁμωνυμοῦσα κογχύλη· πυρὸς δὲ τὸ κόκκινον, ἐμφερέστατον γὰρ φλογί. Πάλιν γε μὴν Αἴγυπτον μὲν ἀφηνιάσασαν, ἡνίκα τὸν e) ἀντίθετον ἀπεσέμνυνε νοῦν, τὰ παράσημα τῆς βασιλείας ἀναδοῦσα αὐτῷ, τὸν θρόνον, τὸ σκῆπτρον, τὸ διάδημα, δέκα πληγαῖς καὶ τιμω-

ρίαις

u) Cod. A. χρυσῶν. P.

x) Forte κατασκηνωθεῖσα.

y) MS. Vat. σοφίας, idque rectius.

z) Num. VII, 14.

a) Videtur deesse ἔχειν.

b) Melius δὴ, vt in Editis et Cod. A. P.

c) Ita quoque Ioseph. Antiq. Lib. III. c. 7. Similia habent

Clem.

cem esse opera: nam sapientes actiones perfectis numeris firmantur, quarum vnaquaeque auro pretiosior est. Talis est et illa per optimates viritim facta collatio, dum anima ornatu accepto a philosophia festum dedicationis ageret, Deo doctori et praeceptori agens gratias. *Acerram enim aureorum decem, plenam aromatibus dedicat*, vt odores e prudentia caeterisque virtutibus exhalantem, ille solus sapiens diiudicet. Quo sacrificio vbi litatum fuerit, Moses sacrum hymnum accinet dicens: *Odoratus est dominus odorem suauitatis*: odorari ponens pro assentiri; non habet enim ille formam humanam, nec naribus aliisue partibus organicis indiget. Paulo post autem et diuinum hospitium, tabernaculum, e decem aulaeis constare dicet: nam totius sapientiae compages numerum perfectum sortita est, denarium: sapientia porro aula est regia regis omnipotentis, qui solus imperat omnibus. Haec est domus eius a mente percepta, altera vero sensibilis mundus hic, quandoquidem et aulaea contexta sunt ex rebus quatuor elementa significantibus. E bysso enim, hyacintho, purpura, et cocco conficiuntur, quatuor numero, vt dixi. Byssus vero terram significat ex qua nascitur; hyacinthus aerem nigricantem suapte natura; aquam purpura, quod haec tinctura e mari petatur, aliter dicta conchylium; postremo ignem color coccinus, cui simillimus est. Rursum Aegyptum rebellem, quando aduersariam Deo mentem venerata, regni traditis insignibus eam ornauit,

Clem. Alex. Strom. V. p. 665. Origen. Hom. XIII. in Exod. Hieronym. in Ep. ad Fab. Theodoret. qu. 60. in Exod. et VI. in Numer. Et Philo ipse infra L. III. de Vit. Mosis.

d) Scribe ἀριθμῷ.

e) Forte ἀντίθεον. De hac vero historia, ad quam alludit Noster, prorsus siletur in libris sacris.

ρίαις ὁ τῶν ὅλων ἐπίτροπος καὶ κηδεμὼν νουθετεῖ. Τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀβραὰμ ὑπισχνεῖται τῷ σοφῷ, οὔτε πλειόνων, οὔτε ἐλαττόνων, ἀλλ᾽ αὐτὸ μόνον f) δέκα ἐθνῶν ἀπώλειαν καὶ παντελῆ φθορὰν ἐργάσασθαι, καὶ τὴν τῶν ἀναιρεθέντων χώραν δώσειν τοῖς ἐγγόνοις αὐτοῦ· πανταχοῦ δεκάδι, καὶ πρὸς ἔπαινον, καὶ πρὸς ψόγον, καὶ πρὸς τιμὴν, καὶ πρὸς κόλασιν καταχρῆσθαι δικαιῶν. Καίτοι τί τούτων μεμνήμεθα; τὴν γὰρ ἱερὰν καὶ θείαν g) ἐκκλησίαν δέκα τοῖς σύμπασι λόγοις Μωσῆς ἀναγέγραφεν· οὗτοι δέ εἰσι θεσμοὶ, τῶν κατὰ μέρος ἀπείρων νόμων γενικὰ κεφάλαια, ῥίζαι καὶ ἀρχαὶ, πηγαὶ ἀέναοι διαταγμάτων, προστάξεις δὲ καὶ ἀπαγορεύσεις περιεχόντων, ἐπ᾽ ὠφελείᾳ τῶν χρωμένων. Εἰκότως οὖν μετὰ δεκαετίαν τῆς εἰς h) Χαλδαίων γῆν ἀφίξεως, ἡ πρὸς τὴν Ἄγαρ κοινωνία γίνεται. Οὐ γὰρ εὐθὺς λογικοὶ γενόμενοι, πλαδώσης ἔτι τῆς διανοίας, ὀρεχθῆναι παιδείας τῆς ἐγκυκλίου δυνάμεθα· ἀλλ᾽ ἐπειδὰν σύνεσιν καὶ ἀγχίνοιαν i) κραταιωσάμενοι, μηκέτι k) κούφῃ καὶ ἐπιπολαίῳ, ἀλλὰ βεβαίᾳ καὶ παγίᾳ γνώμῃ τῇ περὶ ἁπάντων χρώμεθα. Διό τ᾽ ἀκόλουθον προσυφαίνεται, τὸ, Εἰσῆλθε πρὸς Ἄγαρ. Ἦν γὰρ ἁρμόττον τῷ μανθάνοντι πρὸς l) ἐπιστήμονα διδάσκαλον φοιτᾷν, ἵνα ἀναδιδαχθῇ τὰ προσήκοντα ἀνθρώπου φύσει παιδεύματα. Νυνὶ μὲν ὁ γνώριμος εἰς διδασκαλίαν βαδίζων εἰσάγεται, προεκτρέχει δὲ πολλάκις, ἐξοικίσασα φθόνον ἀφ᾽ ἑαυτῆς, καὶ τοὺς ἔχοντας εὐφυῶς ἐπισπᾶται. Τὴν γοῦν ἀρετὴν, Λείαν, ἔστιν ἰδεῖν προαπαντῶσαν καὶ λέγουσαν τῷ m) ἀθλητῇ,

Πρὸς

f) In textu biblico Gen. XV, 19. vndecim gentes numerantur. Sed notandum Heuaeos, gentem ex his vnam, in Cod. Ebraeo deesse. Deutr. VII. septem tantum gentes recensentur, idque notanter.

g) Scribe νομοθεσίαν. Ibid. post ἀρχαὶ, videtur καὶ deesse.

h) Melius Χαναναίων. Sic enim textus S. Mox ibid. in MSS. Med. et Coll. Nou. (acc. Cod. A.) scribitur γῆς pro

uit, folio, fceptro, diademate, decem plagis et poenis, caftigat ille rerum arbiter omnipotens. Idem fapienti Abrahamo pollicetur, nec plures nec pauciores, *fed decem gentes fe deleturum*, et harum agros daturum fe illius pofteris: vbique numerum denarium vfurpans, tam ad honorem quam ad poenam, tam ad laudem quam ad vituperium. Verum ifta quorfum memorare pergimus? Etenim facram illam diuinamque concionem decem in vniuerfum praeceptis Mofes abfoluit: haec vero funt infinitarum legum particularium generalia capitula, radices, initia, fontes perennes mandatorum iuffa vetitaque continentium, ad vtilitatem illorum qui ea recipiunt. Merito igitur decennio poftquam e Chaldaea migratum fuerat, cum Agar contrahitur connubium. Nec enim ftatim vbi ratione vti coepimus, languente adhuc mente, artes liberales appetere poffumus, fed confirmata iam vi intelligendi atque folertia, quando non leui et fuperficietenus, fed firma certaque fententia, res complectimur. Ideo mox in contextu additur illud, *Ingreffus eft ad Agar*. Conueniebat enim difcipulo vt docti magiftri ludum frequentaret, et difceret difciplinas naturae humanae congruas. Et nunc quidem difcipulus ad doctrinam ire inducitur: faepe tamen illa prior obuiam procurrit, amota inuidia, et bono ingenio praeditos attrahit. Sic virtutem, Liam, videre licet occurrentem dicentemque exercitatori, *Ad me*

N 2 *ingre-*

pro γῆν. Ergo leui emendatione reponi poteft, τῆς ἐκ Χαλδαίων γῆς ἀφίξεως.

i) MS. Vat. καρτερωσάμενοι.

k) MS. Vat. κῦφη, et fic rectius.

l) MS. Med. ἐπιςήμην, et fic melius.

m) MS. Vat. ἀσκητῇ recte. Eft enim ille vulgatus Iacobi titulus. In feq. etiam fcribe εἰσελθεῖν pro ἐλθεῖν, et conf. Gen. XXXI, 16.

Πρός με εἰσελεύσῃ σήμερον, ἡνίκα ἐκεῖνος ἀγρόθεν ἐπανίῃ. Ποῦ γὰρ ὤφειλεν ἐλθεῖν ὁ τῶν ἐπιστήμης σπερμάτων καὶ φυτῶν ἐπιμελητὴς, ὅτι μὴ πρὸς τὴν γεωργηθεῖσαν ἀρετήν; Ἔστι δ᾽ ὅτε ἀποπειρωμένη τῶν φοιτητῶν, ὡς n) ἔχουσα προθυμίας καὶ σπουδῆς, οὐχ ὑπαντᾷ μὲν, ἐγκαλυψαμένη δὲ τὸ πρόσωπον ὥσπερ o) Θάμαρ, ἐπὶ τριόδου καθέζεται, πόρνης δόξαν παραχοῦσα τοῖς ὁδῷ βαδίζουσιν· ἵνα οἱ περιέργως ἔχοντες, ἀνακαλύψαντες ἀναφήνωσι, καὶ καταθεάσωνται τὸ ἄψαυστον καὶ ἀμίαντον καὶ παρθένιον ὄντως αἰδοῦς καὶ σωφροσύνης ἐκπρεπέστατον κάλλος. Τίς οὖν ὁ ἐξεταστικὸς καὶ φιλομαθὴς καὶ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον τῶν ἐγκεκαλυμμένων πραγμάτων παραλιπεῖν ἀξιῶν ἐστιν, ὅτι μὴ ὁ ἀρχιστράτηγος καὶ βασιλεὺς, καὶ ταῖς πρὸς θεὸν ὁμολογίαις ἐμμένων τε καὶ χαίρων, ὄνομα Ἰούδας; p) Ἐξέκλινε γάρ, φησι, q) πρὸς αὐτὴν τὴν ὁδὸν, καὶ εἶπεν, ἔασόν με εἰσελθεῖν πρός σε. r) (Ἀλλ᾽ οὐκ ἔμελλε παραβιάζεσθαι) καὶ σκοπεῖν τίς τε ἡ ἐγκεκαλυμμένη δύναμίς ἐστι καὶ ἐπὶ τί παρεσκεύασται. Μετὰ τοίνυν τὸ εἰσελθεῖν γέγραπται, Καὶ συνέλαβεν, καὶ τὸ, τίς, ῥητῶς οὐ μεμήνυται· συλλαμβάνει γὰρ καὶ συναρπάζει ἡ μὲν τέχνη τὸν μανθάνοντα, ἐρωτικῶς ἔχειν ἀναπείθουσα ἑαυτῆς, ὁ δὲ μανθάνων, τὴν διδάσκουσαν, ὁπότε φιλομαθὴς εἴη. Πολλάκις δέ τινα τῶν μέσων ἐπιστημῶν s) ὑφηγούμενος, γνωρίμου τυχὼν εὐφυοῦς, ηὔχησεν ἐπὶ τῇ διδασκαλίᾳ, μόνος ὑπολαβὼν t) τῷ φοιτητῇ γεγονέναι τῆς εὐμαθίας αἴτιος· καὶ μετεωρίσας καὶ φυσήσας ἑαυτὸν ὑψαυχενεῖ, καὶ τὰς ὀφρῦς εὖ μάλα u) ἀνασπάσας τετύφωται, καὶ παρὰ τῶν βουλομένων συνδιατρίβειν, πάμπολλα αἰτεῖ· οὓς δ᾽ ἂν αἴσθηται πένητας μὲν, διψῶντας δὲ παιδείας ἀπο-

n) Ita MSS. (et Cod. A.) pro ἔχουσα in Edit.

o) Haec fere iisdem verbis adducuntur a Clem. Strom. I. p. 335.

p) Gen. XXXVIII, 6.

q) Cod. Med. τὴν ὁδὸν πρὸς αὐτήν.

*ingredieris hodie*, cum ille domum rure rediret. Quo enim alio debuerat ire seminum scientiae plantarumque curator, nisi ad cultam a se virtutem? Ista vero nonnunquam velut periculum faciens discipulorum alacritatis et promptitudinis, non occurrit, sed velata facie, sicut Thamar, *sedet in triuio*, pro meretrice se ostentans praetereuntibus; ita vt aliquis curiosior velo detracto in lucem proferat, et intemerati virgineique pudoris et modestiae pulchritudinem decentissimam conspiciat. Sed quis est ille quaesitor discendi cupidus, nihil indiscussum et inexploratum sinens, nisi summus ille dux et rex, in confessione et laudibus Dei cum gaudio perstans, Iudas nomine. *Diuertit*, inquit, *ad eam de via et dixit: Sine me vt coeam tecum*, (nec vlterius molestus fuit) et inspiciam quaenam sit ista velata potentia, et quid sibi quaerat. Caeterum post ingressum scriptum est: *Et concepit*, nec exprimitur quis. Comprehendit enim et arripit ars quidem discentem, in sui amorem alliciens: discipulus vero magistram, quoties discit auide. Interdum etiam quampiam ex indifferentibus scientiis profitens, et discipulum nactus sollertem, iactat suam doctrinam, credens se solum autorem eruditionis discipulo fuisse: atque ita supinus incedit, et inflatus obducto supercilio a volentibus eum sectari magnam mercedem postulat: si quos autem sentit sitientes eruditionis, sed pauperes, auersatur, quasi solus inuenisset thesaurum sapientiae. Hoc est illud *in vtero concipere*, turgere inflarique supra modum; vnde factum vt nonnulli virtutem, disciplinarum indiferen-



r) Melius Ἆρ' addita nota interrogationis. It. καίτοι pro καὶ τό.

s) Cod. A. ὑφηγεμένη. P.

t) Ita MSS. Vat. et Med. Editi (et Cod. A.) τῶν φοιτητῶν.

u) Cod. A. ἀσπάσας. P.

ἀποστρέφεται, ὥσπερ θησαυρόν τινα σοφίας μόνος ἀνευρηκώς. Τοῦτό ἐστι τὸ ἐν γαστρὶ ἔχειν· οἰδεῖν καὶ τετυφῶσθαι καὶ ὄγκον πλείονα τοῦ μετρίου περιβεβλῆσθαι, δι᾽ ὧν καὶ τὴν κυρίαν τῶν μέσων ἐπιστημῶν ἀρετὴν, ἔδοξάν τινες ἀτιμάζειν, ἐπίτιμον οὖσαν ἐξ ἑαυτῆς. Ὅσαι μὲν οὖν ψυχαὶ x) μετὰ φρονήσεως κυοφοροῦσι πραγμάτων, τίκτουσιν y) ὅμως, τὰ συγκεχυμένα διακρίνουσαι καὶ διαστέλλουσαι, καθάπερ ἡ Ῥεβέκκα· λαβοῦσα γὰρ ἐν γαστρὶ τῶν διττῶν z) διανοίαις ἐθνῶν, ἐπιστήμην ἀρετῆς τε καὶ κακίας, εὐτοκίᾳ χρωμένη, τὴν ἑκατέρου φύσιν διαστέλλει τε καὶ διακρίνει. Ὅσαι δὲ ἄνευ φρονήσεως, ἢ ἀμβλίσκουσιν, ἢ δύστεξιν καὶ σοφιστὴν, βάλλοντα καὶ τοξεύοντα, ἢ βαλλόμενον καὶ τοξευόμενον ἀποκύουσι. Καὶ μήποτε εἰκότως; Αἱ μὲν γὰρ λαμβάνειν, αἱ δὲ ἔχειν ἐν γαστρὶ οἴονται· παμμεγέθους διαφορᾶς. a) Αἱ μὲν γὰρ ἔχειν νομίζουσαι, τὴν b) αἵρεσιν καὶ γένεσιν ἑαυταῖς ἐπιγράφουσαι, σεμνομυθοῦσιν, αἱ δὲ λαμβάνειν ἀξιοῦσαι, τὸ μὲν μηδὲν οἰκεῖον ἐξ ἑαυτῶν ἔχειν συνομολογοῦσι· τὰ δὲ σπέρματα καὶ τὰς γονὰς ἔξωθεν ἀρδομένας καταλαμβάνουσι, καὶ τὸν διδόντα c) θαυμάζουσαι κακὸν μέγιστον, φιλαυτίαν, ἀγαθῷ τελείῳ, θεοσεβείᾳ, cc) διωθοῦνται. Τοῦτον τὸν τρόπον καὶ τὰ νομοθετικῆς τῆς παρὰ ἀνθρώποις κατεβλήθη σπέρματα. Ἦν γάρ τις, φησὶν, ἐκ τῆς φυλῆς Λευὶ d) Ἀβραὰμ, ὃς ἔλαβε τῶν θυγατέρων τῶν Λευὶ, καὶ ἔσχηκεν αὐτὴν, καὶ ἐν γαστρὶ e) ἔλαβεν, καὶ ἔτεκεν ἄῤῥεν· ἰδόντες δὲ αὐτὸ ἀστεῖον ὂν, ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς. Οὗτός ἐστι Μωϋσῆς, ὁ καθαρώτατος νοῦς,

x) Forsan μεσαί.

y) Forte ὁμοίως vel οὕτως et sic verto.

z) Codd. nonnulli διανοίας. Forte ἐπινοίας.

a) Addendum videtur οὔσης.

b) Forte σποράν. Sic enim mox lin. 18. Id. de nom. mut. p. 1059.

c) Θαυμάζουσαι Cod. A. deest. P.

cc) Forsan διορθοῦνται.

ferentium heram, dehonestarent, suapte natura honoratissimam. Quotquot igitur animae cum prudentia fiunt rebus grauidae, pariunt similiter, mox ea confusa discernentes separantesque, sicut Rebecca; postquam enim *vtero concepit* duarum gentium notiones, vbi primum parit scientiam virtutis et vitii, vtramque naturam distinguit et separat. Quotquot autem sine prudentia concipiunt, aut abortum patiuntur, contentiosum quempiam sophistam iaculatorem sagittariumque, vel telis velitationibusque impetitum pariunt. Et merito: aliae enim in vtero accipere, aliae habere se putant, inter quas multum interest. Nam quae se putant habere in vtero, saturam et generationem sibiipsis ascribunt, idque iactant sermonibus: at quae non dedignantur accipere, fatentur se nihil habere proprium, sed semina atque genituras externe infusas recipiunt, et autorem harum veneratae, maximum malum, scilicet sui amorem, per bonum perfectum, scilicet pietatem, depellunt. Ad eundem modum etiam primi inter homines legislatoris iacta sunt semina: *Erat vir quidam*, inquit scriptura, *de tribu Leui, nomine Amram, qui accepit vxorem de filiabus Leui: ea grauida facta peperit filium; quem cum viderent elegantem, absconderunt tribus mensibus.* Hic est Moses ille purissimus animus, vere generosus, qui ex numinis afflatu furore correptus legislatoriam ac propheticam facultatem adeptus est; qui etiam ex genere natus Leuitico, paterna stirpe maternaque florens, veritati



d) Ἀβραὰμ deest in nonnullis Codd. et in textu S. Exod. II, 1. (deest etiam Cod. A.) Mox καὶ ἔσχηκεν αὐτὴν deest in textu. Sic vero Cod. A. ἔλαβε γυναῖκα Ἰωχάβελ, καὶ ἔσχεν αὐτὴ καὶ ἐν γαστρὶ ἔλαβε. Reponendum vero Ἀμράμ.

e) Ita MSS. et textus. Quin et sic notanter scripsisse videtur Philo. (Editi et Cod. A. ἐν γαστρὶ ἔτεκε· καὶ ἔτεκεν ἄῤῥεν.)

νοῦς, ὁ ἄριστος ὄντως, ὁ νομοθετικὴν ὁμοῦ καὶ f) προφητικὴν g) ὁμοῦ ἐνθουσιώσῃ καὶ θεοφορήτῳ σοφίᾳ λαβὼν· ὃς γένος ὢν τῆς Λευιτικῆς φυλῆς, καὶ τὰ πρὸς πατρὸς καὶ τὰ πρὸς μητρὸς ἀμφιθαλὴς, τῆς ἀληθείας ἔχεται. Μέγιστον δὲ h) ἐπάγγελμα τοῦ γενάρχου τῆς φυλῆς ἐστι ταύτης· θαῤῥεῖ γὰρ λέγειν, ὅτι αὐτός μοι μόνος ἐστὶν ὁ θεὸς τιμητέος, ἄλλο δ' οὐδὲν τῶν μεθ i) ἑαυτὸν· οὐ γῆ, οὐ θάλασσα, οὐχὶ ποταμοὶ, οὐκ ἀέρος φύσις οὐ πνευμάτων, οὐκ k) ἀέρων μεταβολαὶ, οὐ ζώων οὐ φυτῶν ἰδέαι, οὐχ ἥλιος, οὐ σελήνη, οὐκ ἀστέρων πλῆθος ἐν τάξεσιν ἐναρμονίοις περιπολούντων, οὐχ ὁ σύμπας οὐρανός τε καὶ κόσμος. Μεγάλης καὶ ὑπερφυοῦς ψυχῆς τὸ αὔχημα, γένεσιν ὑπερκύπτειν, καὶ τοὺς ὅρους αὐτῆς ὑπερβάλλειν, καὶ μόνου τοῦ ἀγεννήτου περιέχεσθαι, κατὰ τὰς ἱερὰς ὑφηγήσεις, ἐν αἷς διείρηται l) ἔχεσθαι αὐτοῦ. Τοιγάρτοι τοῖς ἐχομένοις καὶ ἀδιαστάτως θεραπεύουσιν, ἀντιδίδωσι κλῆρον αὑτόν. Ἐγγυᾶται δέ μου τὴν ὑπόσχεσιν λόγιον, ἐν ᾧ λέγεται, ll) Κύριος m) αὐτὸς κλῆρος αὐτοῦ. Οὕτως ἐν γαστρὶ ἔχουσαι μᾶλλον ἢ λαμβάνουσαι αἱ ψυχαὶ, τίκτειν πεφύκασι. Καθάπερ δ' οἱ σώματος ὀφθαλμοὶ, πολλάκις μὲν ἀμυδρῶς, πολλάκις δὲ τηλαυγῶς ὁρῶσι· τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς ὄμμα, τοτὲ μὲν ὑποσυγκεχυμένας καὶ ἀδήλους, τοτὲ δὲ καθαρὰς καὶ τρανὰς ἀναδέχεται τὰς ἀπὸ τῶν πραγμάτων ἰδιότητας. Ἡ μὲν οὖν ἀσαφὴς καὶ ἀδηλουμένη προσβολὴ, ἔοικε τῷ μήπω κατὰ γαστρὸς ἐμβρύῳ διατυπωθέντι· ἡ δὲ ἐναργὴς καὶ τρανὴ μάλιστα τῷ διαπεπλασμένῳ, καὶ καθ' ἕκαστον τῶν ἐντός τε καὶ ἐκτὸς μερῶν τετεχνιτευμένῳ, καὶ τὴν ἁρμόττουσαν ἰδέαν ἀπειληφότι. Νόμος δὲ ἐπὶ τούτοις ἐγράφη πάνυ καλῶς καὶ συμφερόντως τεθεὶς οὗτος· n) Ἐὰν μαχομένων ἀνδρῶν.

f) MS. Med. (et Cod. A.) προφητείαν, et sic scribendum.

g) Ὁμοῦ omnino redundat, (et Cod. A. deest.)

h) Forsan ἐπαύχημα, sic enim infra lin. 12.

i) Melius αὐτὸν, sc. Deum (Cod. A. τῶν μεθ' ἑαυτὸν omittit.)

veritati adhaeret. Maximum autem quiddam iactat primus tribus huius autor: audet enim dicere, *Ipse mihi solus Deus colendus est*, aliud praeterea nihil illo inferius: non terra, non mare, non fluuii, non aeris ventorumque natura, non tempestatum vices non animalium plantarumque species, non sol, non luna, non multitudo stellarum ordine certo decurrentium, non coelum, nec mundus vniuersus: est vero ista gloriatio magni generosique animi, emergere supra creaturam et terminos eius transcendere, vni adhaerendo Ingenito, iuxta sacra praecepta, quibus praecipitur, *ipsi adhaerere*. Itaque pro hac assiduitate cultuque non intermisso reddit eis sortem seipsum. Confirmat autem hoc meum argumentum scriptura dicens, *Dominus ipse haereditas eius*. Tales partus grauidae magis quam concipientes animae solent parere: quemadmodum corporis oculi modo obscure modo clare vident; similiter etiam animae oculus aliquando confusiores et incertas, aliquando claras manifestasque rerum proprietates concipit. Ille vero obscurus et incertus conceptus similis est foetui nondum formato in vtero: clarus autem et manifestus iam formato, et in singulis internis externisque membris perfecto, et effigiem humanam referenti. De his extat lex scripta valde bona et perutilis. *Si, rixantibus viris duobus alter percutiat mulierem grauidam, et illa puerum informem eiiciat, mulcta mulctabitur ex mariti arbitrio, eamque mox repraesentabit. Quod si formatus fuerit, dabit animam pro anima.* Non enim

N 5

k) Melius, vt videtur, ὡρῶν, sc. *anni tempestatum vices*; ita Markland.

l) Deutr. XXX, 20.

ll) Deutr. X, 10.

m) Αὐτὸς restitui ex MSS. Vat. et Med. (Cod. A. deest.)

n) Exod. XXI, 22.

δρῶν δύο, πατάξῃ τις γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθ᾽ ὅ, τι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικὸς, o) καὶ δώσει μετὰ ἀξιώματος· ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς. Οὐ γὰρ ἦν ὅμοιον, τέλειόν τε καὶ ἀτελὲς διανοίας ἔργον διαφθεῖραι, οὐδὲ εἰκαζόμενον καὶ καταλαμβανόμενον, οὐδὲ ἐλπιζόμενον καὶ ἤδη ὑπάρχον. Διὰ τοῦτο, ὅπου μὲν ἐπιτίμιον ἄδηλον ἐπ᾽ ἀδήλῳ πράγματι, ὅπου δὲ ὡρισμένον ἐπὶ τελείῳ νομοθετεῖται· τελείῳ δὲ οὐχὶ πρὸς ἀρετὴν, ἀλλὰ τῷ κατά τινα τέχνην τῶν ἀνεπιλήπτων γενομένῳ. Κυοφορεῖ γὰρ p) αὐτὸν, οὐχ ἡ λαβοῦσα, ἀλλ᾽ ἡ ἐν γαστρὶ ἔχουσα, οἴησιν πρὸ ἀτυφίας ἐπαγγελλομένη. Καὶ γὰρ ἀμήχανον ἀμβλίσκειν τὴν ἐν γαστρὶ λαβοῦσαν, ἐπεὶ τὸ φυτὸν ὑπὸ τοῦ σπείραντος ἐμπρεπὲς τελεσφορεῖσθαι· τὴν δὲ ἔχουσαν, οὐκ ἀνοίκειον, ἅτε νόσῳ χωρὶς ἰατροῦ q) κατισχημένην. Μὴ νομίσῃς δὲ τὴν Ἄγαρ λέγεσθαι ἑαυτὴν ὁρᾶν ἐν γαστρὶ ἔχουσαν, διὰ τοῦ, Ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, ἀλλὰ τὴν κυρίαν αὐτῆς Σάῤῥαν. Καὶ γὰρ ὕστερον αὐτὴ περὶ ἑαυτῆς φησιν, r) Ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, s) ἠτιμάσθη ἐνώπιον αὐτῆς. Διὰ τί; ὅτι αἱ μέσαι τέχναι, t) καὶ αἱ κατ᾽ αὐτὰς, ὧν εἰσιν ἐγκύμονες ὁρᾶσιν, ἀλλά τοι πάντως ἀμυδρῶς ὁρῶσιν. Ἀλλ᾽ ἐπιστῆμαι τηλαυγῶς καὶ σφόδρα ἐναργῶς καταλαμβάνουσιν· ἐπιστήμη γὰρ πλέον ἐστὶ τέχνης, τὸ βέβαιον καὶ ἀμετάπτωτον ὑπὸ λόγου προσειληφυῖα. Τέχνης μὲν γὰρ ὅρος οὗτος, σύστημα u) ἐγκαταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον· τοῦ εὐχρήστου διὰ τὰς κακοτεχνίας ὑγιῶς προστιθεμένου. Ἐπιστήμης δὲ,

κατα-

o) Καὶ Cod. A. deest. P.

p) Forte αὐτὸ, sc. παιδίον.

q) Editi et Cod. A. κατεσχημένην. P.

r) Gen. XVI, 4.

s) Sic MSS. sicut etiam textus (et Cod. A.) Editi ἑτοιμάσθη.

nim erat ſimile, perfectum et imperfectum mentis opus corrumpere, neque coniectura tantundem valet quantum ſcientia, neque ſperata res quantum poſſeſſa. Ideo pro incerto incerta mulcta ſtatuitur: definita vero pro perfecto: quod perfectum intelligitur non de virtute, ſed de arte aliqua inculpabili. Hoc foetu praegnans eſt, non quae concepit, ſed grauida, iactationem magis quam modeſtiam profeſſa. Nam eam quae ſic concepit abortire non eſt poſſibile, quod plantam ab eo qui ſeminauit perfici par eſt: at grauidae non eſt mirum ſi quid ſecus accidat, quod haec aegrotet morbo medici artem ſuperante. Caue autem de Agar dictum putes, quod vidiſſet ſeipſam concepiſſe, cum dicitur, *videns quod eſſet grauida:* ſed de hera hoc intelligitur, Sarra. Nam paulo poſt ipſa de ſeipſa dicit: *Videns eam eſſe grauidam, contemta fuit coram ea.* Cur ita? quoniam indifferentes artes, et ſcientiae ſecundum eas conſtitutae, quibus ſunt grauidae, vident, ſed id omnino obſcure vident: ſcientiae vero cernunt ſuos foetus manifeſtiſſime. Nam ſcientia maior eſt quam ars, ita vt ratione non dimoueatur. Sic enim definitur ars: *congeries conceptuum exercitio comparatorum, ad finem aliquem bonum ac vtilem:* quae clauſula recte additur, vt malas improbatasque artes excludat. Scientia autem definitur, *firma et ſtabilis apprehenſio ab argumentis non conuellenda.* Proinde muſicam, grammaticam, et harum cognatas vocamus artes. Nam quicunque in his ſunt abſo-

t) Forte ſcribendum κἂν. MS. Vat. αἱ κατ᾽ αὐτὰς ἐπιςήμαι. (Editi et Cod. A. καὶ εἰ τὰ καθ᾽ αὐτάς.) Forte καὶ οἱ, ſc. τεχνῖται.

u) Sic quoque Sextus Empiricus adu. Math. p. 16. ἡ δὲ τέχνη σύςημα ἐγκαταλήψεως τῶν περὶ τον γραμματικόν. Ibi vero ſcribe ἐγκαταλήψεων, vel potius καταλήψεων, vt infra p. 468. Scribe ergo etiam apud Noſtrum, ἐκ καταλήψεων.

κατάληψις ἀσφαλὴς καὶ βέβαιος, x) ἀμετάπτωτος ὑ-
πὸ λόγου. Μουσικὴν μὲν οὖν καὶ γραμματικὴν καὶ τὰς
συγγενεῖς καλοῦμεν τέχνας. Καὶ γὰρ οἱ ἀποτελούμενοι
δι᾽ αὐτῶν τεχνῖται, μουσικοί τε καὶ γραμματικοί. Φιλο-
σοφίαν δὲ καὶ τὰς ἄλλας ἀρετὰς ἐπιστήμας, καὶ τοὺς ἔ-
χοντας αὐτὰς ἐπιστήμονας· φρόνιμοι γάρ εἰσι καὶ σώ-
φρονες καὶ φιλόσοφοι ὧν οὐδὲ εἷς ἐν τοῖς τῆς διαπεπονη-
μένης ἐπιστήμης σφάλλεται δόγμασι, καθάπερ οἱ προει-
ρημένοι ἐν τοῖς τῶν μέσων τεχνῶν θεωρήμασιν. Ὥσπερ
γὰρ ὀφθαλμοὶ μὲν ὁρῶσιν, ὁ δὲ νοῦς δι᾽ ὀφθαλμῶν τηλαυ-
γέστερον· καὶ ἀκούει μὲν ὦτα, ὁ δὲ νοῦς δι᾽ ὤτων ἄμεινον· καὶ
y) ὀσφρῶνται μὲν οἱ μυκτῆρες, ἡ δὲ ψυχὴ διὰ ῥινῶν ἐν-
αργέστερον· καὶ αἱ ἄλλαι αἰσθήσεις τῶν καθ᾽ αὑτὰς ἀντι-
λαμβάνονται, καθαρώτερον δὲ καὶ εἰλικρινέστερον ἡ διά-
νοια. Κυρίως γὰρ εἰπεῖν, ἥδ᾽ ἐστὶν ὀφθαλμὸς μὲν ὀφθαλ-
μῶν, ἀκοὴ δ᾽ ἀκοῆς, καὶ ἑκάστης τῶν αἰσθήσεων αἴσθησις εἰ-
λικρινεστέρα, χρωμένη μὲν ἐκείναις ὡς ἐν δικαστηρίῳ ὑπη-
ρέτισι, δικάζουσα δ᾽ αὐτὴ τὰς φύσεις τῶν ὑποκειμένων,
ὡς τοῖς μὲν συναινεῖν, τὰ δὲ ἀποστρέφεσθαι· οὕτως αἱ μὲν
λεγόμεναι μέσαι τέχναι ταῖς κατὰ τὸ σῶμα δυνάμεσιν
ἐοικυῖαι, τοῖς θεωρήμασιν ἐντυγχάνουσιν κατά τινας ἁ-
πλᾶς ἐπιβολάς· ἀκριβέστερον δὲ ἐπιστῆμαι, καὶ σὺν ἐξ-
ετάσει περιττῇ. Ὁ γὰρ νοῦς πρὸς αἴσθησιν, τοῦτ᾽ ἐπιστή-
μη πρὸς τέχνην ἐστί· καθάπερ γὰρ αἴσθησίς τις αἰσθή-
σεων, ὡς ἐλέχθη πρότερον, ἐστὶν ἡ ψυχή. Ἐκείνων μὲν
οὖν ἑκάστη μικρὰ ἄττα τῶν ἐν τῇ φύσει παρεσπάσατο,
περὶ ἃ πονεῖται καὶ πραγματεύεται· γραμμὰς μὲν γεω-
μετρία, φθόγγους δὲ μουσική, φιλοσοφία δὲ πᾶσαν τὴν τῶν
ὄντων φύσιν. Ὕλη γάρ ἐστιν αὐτῆς ὅδε ὁ κόσμος, καὶ πᾶ-
σα ἡ z) τῶν ὄντων ὁρατή τε καὶ ἀόρατος οὐσία. Τί οὖν
θαυμαστὸν, εἰ ἡ τὰ ὅλα καθορῶσα θεᾶται καὶ τὰ μέ-
ρη, καὶ ἄμεινον ἐκείνων, ἅτε ὀφθαλμοῖς a) μείζοσι

καὶ

x) Hanc scientiae definitionem a Zenone hausit Philo. Laert. Lib. VII. seg. 47. ib. seg. 165. Sext. Empir. adu. Math. p. 166. Clem. Strom. II, p. 454.

y) MS. Vat. ὀσφραίνονται.

Τὰ δὲ περὶ τῆς γυναικὸς αὐτῦ Σάρας, νῦν ἑρμηνευτέον· καὶ γὰρ αὐτὴ μετονομάζεται εἰς Σάῤῥαν, κατὰ τὴν τῦ ἑνὸς ςοιχείε πρόσθεσιν, τῦ Ῥῶ. Τὰ μὲν οὖν ὀνόματα ταῦτα, τὰ δὲ τυγχάνοντα μηνυτέον. Ἑρμηνεύεται Σάρα μὲν, ἀρχή μυ. Σάῤῥα δὲ, ἄρχουσα· τὸ μὲν ὖν πρότερον εἰδικῆς σύμβολον αρετῆς ἐςι, τὸ δ' ὕςερον γενικῆς. Ὅσῳ δὲ z) γένος εἴδυς διαφέρει κατὰ τὸ ἔλαττον, τοσύτῳ τὸ δεύτερον ὄνομα τῦ προτέρυ· τὸ μὲν γὰρ εἶδος καὶ βραχὺ καὶ φθαρτὸν, τὸ δὲ γένος πολύ τε αὖ καὶ ἄφθαρτον. Βύλεται δὲ ὁ θεὸς ἀντὶ μικρῶν καὶ φθαρτῶν μεγάλα καὶ ἀθάνατα χαρίζεσθαι, καὶ ἐμπρεπὲς αὐτῷ τὸ ἔργον. Ἡ μὲν a) ἐν τῷ σπυδαίῳ φρόνησις, αὐτῦ μόνου ἐςὶν ἀρχὴ, καὶ ὐκ ἂν ἁμάρτοι ὁ ἔχων, εἰ λέγει, ἀρχή μυ ἐςὶν ἡ ἐν ἐμοὶ φρόνησις. Ἡ δὲ ταύτην τυπώσασα, ἡ γενικὴ φρόνησις, ὐκ ἔτι τῦ δεῖνός ἐςιν ἀρχὴ, ἀλλ' αὐτὸ τῦτο ἀρχή. Τοιγαρῦν ἐκείνη μὲν ἡ ἐν εἴδει, τῷ ἔχοντι συμφθαρήσεται, ἡ δὲ σφραγῖδος τρόπον αὐτὴν τυπώσασα, παντὸς ἀπηλλαγμένη θνητῦ, διατελέσει πρὸς αἰῶνα ἄφθαρτος. Οὕτω καὶ τῶν τεχνῶν αἱ μὲν ἐν εἴδει συναπόλλυνται τοῖς κτησαμένοις, γεωμέτραις, γραμματικοῖς, μυσικοῖς· αἱ δὲ γενικαὶ μένυσιν ἀνώλεθροι. Προσυπογράφει δὲ ἀναδιδάσκων ἐν ταὐτῷ, ὅτι καὶ πᾶσα ἀρετὴ βασιλίς ἐςι, καὶ ἄρχυσα, καὶ ἡγεμονεύυσα τῶν κατὰ τὸν βίον πραγμάτων.

Ἀλλὰ καὶ τὸν Ἰακὼβ μετονομάζεσθαι συμβέβηκεν εἰς τὸν Ἰσραὴλ, ὐκ ἀπὸ σκοπῦ· διὰ τί; ὅτι ὁ μὲν Ἰακὼβ πτερνιςὴς, ὁ δὲ Ἰσραὴλ ὁρῶν τὸν θεὸν καλεῖται. Πτερνιςῦ μὲν ὖν ἔργον ἀσκοῦντος ἀρετὴν, τὰς βάσεις τοῦ πάθους αἷς ἐφίδρυται, καὶ εἴ τι ὀχυρὸν ἱδρυμένον ἐν αὐταῖς, κινεῖν, καὶ σαλεύειν, καὶ ἀνατρέπειν. Ταῦτα δὲ οὐ δίχα ἀγωνίας b) ἀπονητὶ φιλεῖ γίνεσθαι· ἀλλ'

ἐπειδὰν

z) Potius γένυς εἶδος.

Iam vero quae ad coniugem ipſius Saram pertinent, nobis dicenda ſunt, quoniam ipſius quoque nomen Sarae mutatum eſt in Sarram, adiectione vnius elementi R. Huiusmodi ergo ſunt nomina, quae vero his ſignificantur, ſunt explicanda. Exponitur quidem Sara, *principatus meus,* Sarra autem, *princeps ſeu Domina:* primum ergo ſpecialis virtutis indicium eſt; ſecundum vero generalis: quantum porro genus a ſpecie praeſtantia differt, tantum poſterius nomen priore praeſtat. Etenim ſpecies exiguum quid et corruptibile eſt, genus autem late patet et immortale eſt. Atqui Deus pro puſillis et corruptibilibus, magna et immortalia vult impertiri, idque opus eſt illi congruum. Prudentia quidem certe quae in viro probo ineſt, ipſius ſolius eſt principatus, atque haud aberraret ea praeditus, ſi diceret, principatus meus eſt prudentia in me ſita. Verum generalis prudentia, quae illam format et effingit, non amplius huius aut illius principatus, ſed imperium merum. Quapropter illa quae ſpecialis eſt, ſimul cum ea praedito perit, haec vero, quae ſigilli inſtar illam effingit, omnis eſt expers mortalitatis, et aeterna in omne aeuum permanebit. Sic etiam in artibus, eae quae ſpeciales ſunt, pereunt, vna cum artificibus, cum geometris, grammaticis, muſicis; generales autem *artes* interitus exſortes conſiſtunt. Rurſus vero eadem propoſitione inſuper docet, omnem virtutem, reginam, principem et rectricem eſſe rerum in vita.

Iacobi etiam nomen mutatum eſt in Iſraelem: nec abs re; cur ita? Iacob quidem eſt qui impetit calcibus, ſupplantator: Iſrael vero vocatur, *Deum videns.* Quare ſupplantatoris, qui virtutem colit, munus eſt, affectionis baſes, quibus inſidet, et ſi quicquam firmum ac ſtabile in ipſis eſt, mouere, concutere ac diruere. Iſtud por-



a) Forte deeſt *οὖν.*

b) Scribe *καὶ ἀκόυετι.*

ἐπειδάν τις τοὺς φρονήσεως ἄθλους διαθλῶν, γυμνάζηταί τε τὰ τῆς ψυχῆς γυμνάσματα, καὶ πρὸς τοὺς ἀντιπάλους καὶ τραχηλίζοντας αὐτὴν λογισμοὺς, παλαίῃ. Τοῦ δὲ τὸν θεὸν ὁρῶντος, τὸ μὴ ἐκ τοῦ ἱεροῦ ἀγῶνος ἀστεφάνωτον ἐξελθεῖν, ἀλλὰ τὰ ἐπὶ τῇ νίκῃ βραβεῖα ἄρασθαι. Τίς δ' ἂν εὐανθέστερος c) καὶ ἐπιτηδειότερος πλέκοιτο νικηφόρῳ ψυχῇ στέφανος, ἢ δι' οὗ τὸν Ὄντα δυνήσεται θεωρεῖν ὀξυδερκῶς; Καλόν γε ἀσκητικῇ ψυχῇ πρόκειται τὸ ἆθλον, ἐνομματωθῆναι πρὸς τὴν τοῦ μόνου θέας ἀξίου τηλαυγῆ κατανόησιν.

Ἄξιον δὲ ἀπορῆσαι, διὰ τί ὁ μὲν Ἀβραὰμ, ἀφ' οὗ μετωνομάσθη, τῆς αὐτῆς προσρήσεως ἀξιοῦται, μηκέτι καλούμενος ὀνόματι τῷ προτέρῳ· ὁ δὲ Ἰακὼβ προσρηθεὶς Ἰσραὴλ, οὐδὲν ἧττον αὖθις πάλιν Ἰακὼβ ἐπὶ πλεῖον ὀνομάζεται. Λεκτέον οὖν, ὅτι καὶ ταῦτα χαρακτῆρές εἰσιν, οἷς ἡ διδακτὴ τῆς d) ἀσκητικῆς ἀρετῆς διαφέρει. Ὁ μὲν γὰρ διδασκαλίᾳ βελτιωθεὶς, εὐμοίρου λαχὼν φύσεως, ἢ περιποιεῖ τὸ ἄληστον αὐτῷ διὰ συνεργοῦ μνήμης, μόνῃ χρῆται· ὧν ἔμαθεν ἀπρὶξ ἐπειλημμένος καὶ βεβαίως περιεχόμενος. Ὁ δ' ἀσκητὴς, ἐπειδὰν γυμνάσηται συντόνως, διαπνεῖ πάλιν καὶ e) ὑπανίεται, συλλεγόμενος καὶ ἀνακτώμενος τὴν ἐκ τοῦ πονεῖν f) τετρυμμένην δύναμιν, καθάπερ καὶ οἱ τὰ σώματα ἀλειφόμενοι· καὶ γὰρ οὗτοι περὶ τὴν ἄσκησιν καμόντες, ὡς μὴ κατὰ τὸ παντελὲς αὐτοῖς ἀπορραγεῖεν αἱ δυνάμεις, διὰ τὸ σφοδρὸν καὶ σύντονον τῆς ἀθλήσεως, ἔλαιον ἐπιχέουσιν. Εἶθ' ὁ μὲν διδαχθεὶς ἀθανάτῳ χρώμενος ὑποβολεῖ, τὴν ὠφέλειαν ἔναυλον καὶ ἀθάνατον ἔχει, μὴ τρεπόμενος· ὁ δὲ ἀσκητὴς καὶ τὸ ἑκούσιον ἔχων αὐτὸ μόνον, καὶ τοῦτο γυμνάζων καὶ συγκροτῶν, ἵνα τὸ οἰκεῖον

c) Καὶ MS. Coll. Nou. pro ἢ in Editis.

d) Scribe ἀσκητῆς.

e) Forsan ὑπανίσταται.

ro non ſine contentione et labore conſueuit fieri: ſed tum demum cum quis prudentiae certamina aggreſſus, animae exercitationibus exercet ſe, et cum ratiocinationibus aduerſantibus et ipſam cruciantibus, luctatur. Verum Deum videntis proprium eſt, e ſacro certamine non egredi, priusquam coronetur, ſed victoriae praemia reportare. Quaenam autem floridior aptiorue corona victrici animae necti poſſet, quam illa per quam Deum acute valeat cernere? Praeclarum igitur animae virtuti operam danti praemium proponitur, vt oculata fiat ad perſpicacem perceptionem eius, quod ſolum contemplatione dignum eſt.

Dignum autem quaeſitu eſt, cur Abrahamus quidem, ex quo tempore nomen permutauit, hac eadem appellatione ſemper honoretur, nec amplius priori nomine nuncupetur: Iacobus vero cognominatus Iſrael, nihilominus ipſe rurſus Iacobus deinceps ſaepius appelletur. Itaque dicendum eſt, quod hae ſint notae quibus virtus quae docetur, differt ab ea quae exercitatione comparatur. Nam qui doctrina melior factus eſt, felicem nactus naturam, quae memoriae adiuuantis beneficio, quod obliuione deleri nequit ſibi parat, eam ſolam ad vſum adhibet: quae ſemel didicit, mordicus tenens et firme apprehendens. Exercitator autem, vbi vehementer ſe exercuerit, reſpirat ac paulatim remittit ſe, vt robur labore conſumptum colligat et recuperet, ſicut ii quorum corpora vnguntur: etenim hi exercitatione feſſi, ne plane vires ipſos deficiant ob vehementem certaminis contentionem, oleo ſe perfundunt. Praeterea ab immortali doctus monitore, commoditatem recentem et immortalem retinet, nusquam mutatus; exercitator autem ſua tantum voluntate ad agendum impellitur, in eoque ſe exercet, vt affectum mortali familiarem transmutet, tam-



f) Melius τετρυμένην, vel τετρυωμένην. Vid. Heſych. τετρυωμένως.

κεῖον πάθος τῷ γεννητῷ μεταβάλῃ, κἂν τελεωθῇ, καμὼν πρὸς τὸ ἀρχαῖον ἐπάνεισι γένος. Τλητικώτερος g) μὲν γὰρ οὗτος, εὐτυχέστερος δ' ἐκεῖνος· ὁ μὲν γὰρ χρῆται διδασκάλῳ ἑτέρῳ· ὁ δ' ἐξ ἑαυτοῦ ζητεῖ τε καὶ σκέπτεται καὶ πολυπραγμονεῖ, μετὰ σπουδῆς ἐρευνῶν τὰ φύσεως, ἀδιαστάτῳ h) χρώμενα καὶ συνεχεῖ πόνῳ. Διὰ τοῦτο τὸν μὲν Ἀβραάμ, ἐπειδὴ μένειν ἔμελλεν ἐν ὁμοίῳ, μετωνόμασεν ὁ ἄτρεπτος θεός, ἵν' ὑπὸ τοῦ ἑστῶτος καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος, τὸ μέλλον στήσεσθαι παγίως ἱδρυθῇ· τὸν δὲ Ἰακώβ, ἄγγελος, ὑπηρέτης τοῦ θεοῦ λόγος· ἵν' ὁμολογηθῇ, μηδὲν εἶναι τῶν μετὰ τὸ ὂν, ἀκλινοῦς καὶ ἀρρεποῦς αἴτιον βεβαιότητος, * * i) ἀλλ' ἁρμονίας τῆς ὡς ἐν ὀργάνῳ μουσικῷ περιεχούσης ἐπιτάσεις καὶ ἀνέσεις φθόγγων, πρὸς τὴν τοῦ μέλους ἔντεχνον κρᾶσιν.

Ἀλλὰ τριῶν ὄντων τοῦ γένους ἀρχηγετῶν, οἱ μὲν ἄκροι μετωνομάσθησαν, Ἀβραάμ τε καὶ Ἰακὼβ, ὁ δὲ μέσος Ἰσαὰκ, τῆς αὐτῆς ἔλαχεν εἰσαεὶ προσρήσεως. Διὰ τί; ὅτι ἡ μὲν διδακτὴ ἀρετὴ καὶ k) ἀσκητικὴ δέχονται τὰ πρὸς βελτίωσιν· ἐφίεται γὰρ δὴ ὁ μὲν διδασκόμενος, ἐπιστήμης ὧν ἀγνοεῖ, ὁ δὲ ἀσκήσει χρώμενος, στεφάνων καὶ τῶν προκειμένων ἄθλων, φιλοπόνῳ καὶ φιλοθεάμονι ψυχῇ. Τὸ δ' αὐτοδίδακτον καὶ αὐτομαθὲς γένος, ἅτε φύσει μᾶλλον ἢ ἐπιτηδεύσει συνιστάμενον, ἐξ ἀρχῆς l) ἴσον καὶ τέλειον καὶ ἄρτιον ἠνέχθη, μηδενὸς m) ἐνδέοντος τῶν εἰς πλήρωσιν ἀριθμοῦ. Ἀλλ' οὐχ ὁ τῶν τοῦ σώματος ἐπιτηδείων προστάτης Ἰωσήφ, ἀλλάττει γὰρ τοὔνομα, n) Ψονθομφανὴχ ὑπὸ τοῦ τῆς

χώρας

g) Melius μὲν ἄρ.

h) MS. Coisl. ad marg. χρώμενος, et ſic legendum coniicio.

i) Nonnulla hic videntur deeſſe, vel ſcribendum ἀλλὰ καί.

k) Melius ἀσκητή, v. ſupra.

etſi perfectionem aſſequutus fuerit, feſſus tamen ad priſtinum genus ſe recipit. Hic enim magis eſt laboris patiens, ille vero fortunatior exiſtit: prior enim doctoris alterius opera vtitur: alter ex ſeipſo quaerit et conſiderat, et indagat curioſe, ſummoque ſtudio naturae ſcrutatur arcana, indeſinente atque aſſiduo labore ſuſcepto et exantlato. Idcirco Deus immutabilis Abrahamo qui in eodem ſtatu permanſurus erat, nomen mutauit, vt quod ſtabile futurum erat, ab eo qui firmus perſtat, atque in iisdem eodemque modo permanet, fixum confirmaretur. Iacobo autem angelus, Dei miniſter verbum, aliud nomen indidit, vt in confeſſo ſit et exploratum, nihil plane eſſe, ex iis quae ſunt infra Deum poſita, immotae firmaeque ſtabilitatis cauſam * * ſed harmoniae eius, quae velut in muſico inſtrumento, intenſiones ac remiſſiones ſonorum continet, ad artificioſam concentus temperationem.

Verum cum tres ſint generis autores, extremi duo Abrahamus et Iacobus nomen mutarunt, medius vero Iſaacus eandem ſemper retinuit appellationem. Cur ita? eo quod virtus quae tum doctrina tum exercitatione comparatur, profectum et emendationem admittit; nam is qui docetur, ſcientiam appetit eorum quae ignorat: ſed is qui exercitatur, coronas et praemia petit, quae proponuntur animae laboris patienti et ſpectandi cupidae. Iam vero a ſemetipſo edoctum genus, quaſi natura potius quam ſtudio ſic factum, par perfectum et integrum ab initio inductum eſt, atque omnibus ſuis numeris abſolutum. Non idem Ioſepho vſu venit, qui rebus corpori neceſſariis praefectus fuit; hic enim nomine mutato Pſonthomphanech a gentis rege cognominatus eſt. Id autem quam rationem habeat, explicandum eſt. Ioſeph



l) Quidni ὅσιον?

m) Forte ἐνδέον.

n) Sic LXX. Interpr. ſcribunt. MSS. ψονθοφανήχ.

χώρας βασιλέως ἐπικληθείς. Ὃν δὲ λόγον ἔχει καὶ ταῦτα, μηνυτέον· Ἰωσὴφ ἑρμηνεύεται πρόσθεμα· προσθήκη δ' ἐςὶ τῶν φύσει τὰ o) θέσει· χρυσὸς, ἄργυρος, κτήματα, πρόσοδοι, οἰκετῶν θεραπεῖαι, κειμηλίων καὶ ἐπίπλων καὶ τῆς ἄλλης περιουσίας ἄφθονοι ὗλαι, τῶν ἡδονῆς ποιητικῶν ἀμήχανοι τὸ πλῆθος παρασκευαί. Ὧν τὸν ποριςὴν καὶ ἐπιμελητὴν Ἰωσὴφ, ὀνόματι εὐθυβόλῳ καλεῖσθαι συμβέβηκε πρόσθεμα· ἐπεὶ τῶν ἔξωθεν ἐπεισοδιαζομένων καὶ προστιθεμένων τοῖς κατὰ φύσιν, προςασίαν ἀνῆπται. Μαρτυροῦσι δ' οἱ χρησμοὶ, δηλοῦντες ὅτι τὰς τροφὰς τῆς σωματικῆς χώρας ἁπάσης, Αἰγύπτου, θησαυριζάμενος, ἐσιτάρχει. Τοιοῦτος μέν τις ὁ Ἰωσὴφ ἐκ τῶν γνωρισμάτων γνωρίζεται· ὁ δὲ Ψονθομφανὴχ ποῖός ἐςι, θεασώμεθα. Ἑρμηνεύεται οὖν, p) ἐν ἀποκρίσει ςόμα κρῖνον. Οἴεται γὰρ πᾶς ἄφρων τὸν πολυχρήματον καὶ περιῤῥεόμενον ταῖς ἐκτὸς q) οὐσίαις, εὐθὺς εἶναι καὶ εὐλόγιςον, ἱκανὸν μὲν πρὸς ἃ ἂν πύθηταί τις, ἀποκρίνασθαι, ἱκανὸν δὲ καὶ δι' ἑαυτοῦ γνώμας εἰσηγήσασθαι συμφερούσας. Καὶ συνόλως, τὸ φρόνιμον ἐν τῷ τυχηρῷ τίθεται, δέον ἔμπαλιν τὸ τυχηρὸν ἐν τῷ φρονίμῳ· ἄξιον γὰρ τὸ ἄςατον ὑπὸ τοῦ ἑςῶτος ἡνιοχεῖσθαι· καὶ μὴν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμογάςριον, ὁ μὲν πατὴρ r) Βενιαμὴν, ἡ δὲ μήτηρ υἱὸν ὀδύνης προσαγορεύει, φυσικώτατα. Μεταληφθεὶς γὰρ ὁ Βενιαμὶν, ἐςιν υἱὸς ἡμερῶν· ἡμέρα δὲ τῷ ἀφ' ἡλίου αἰσθητῷ φωτὶ καταλάμπεται, τούτῳ δὲ τὴν κενὴν δόξαν ἐξομιοῦμεν. Ἔχει γάρ τινα λαμπρότητα αἰσθητὴν ἐν τοῖς s) παρὰ τῶν πολλῶν καὶ ἀγελαίων ἐπαίνεις, ἐν τοῖς γραφο-

? Error o) Omnino reponendum ἔξω. Sequitur enim τῶν ἔξωθεν ἐπεισωδιαζομένων καὶ προστιθεμένων τοῖς κατὰ φύσιν.

p) Quidni vero fcribatur ἐν ἀποκρύψει ςόμα ἀποκρινόμενον. Cui emendationi fuffragari videtur Etymi hebraei ratio, פה ענה צפות abfcondita Os refpondens. Vnde nofter Lib. de Iofeph. ὀνομάζει αὐτὸν ἀπὸ τῆς ὀνειροκριτικῆς. Vid. Iofeph. Antiq. L. II. c. 6. Origen. Hom. XXV.

ſeph exponitur *Adiectio;* appendix enim rerum naturalium ſunt res externae: aurum, argentum, poſſeſſiones, reditus, ſeruorum miniſteria, ampla gazae et ſupellectilis atque eiusmodi luxus copia, et immenſi atque innumeri rerum voluptatem adferentium apparatus: quorum omnium ſuppeditator et curator Ioſephus, recto nomine *adiectio*, quoniam extrinſecus aduenientium et rebus naturae adiectorum praefecturam ſuſceperat. Hoc ipſum vero teſtantur oracula quae declarant Ioſephum, conditis alimentis corporeae regionis vniuerſae, ſcil. Aegypti, annonae praefectum fuiſſe. Talis ſane Ioſephus e notis et inſignibus denotatur; iam qualisnam ſit Pſonthomphanech videamus. Exponitur ergo nomen iſtud, *in reſponſo os iudicans.* Stultus quippe omnis exiſtimat pecuniis abundantem, externisque facultatibus affluentem, ſtatim eloquentem: idoneum quidem ad reſpondendum iis quae quis ab eo ſciſcitatur, idoneum etiam per ſe ad vtiles ſententias inducendas. Atque, vt ſummatim dicam, prudentiam in rebus fortunae ponit, cum contra fortunae res in prudentia ponere deberet. Aequum enim eſt, vt quod inſtabile eſt a ſtabili regatur. Et vero ipſius fratrem vterinum, pater quidem *Beniaminum,* mater autem *doloris filium* nuncupat, naturali rationi conuenientiſſime. Etenim ſi Beniaminum exponas, eſt *filius dierum.* Dies porro ſolari luce, quae ſub ſenſum cadit, illuſtratur: ei vero gloriam inanem comparamus. Haec ſiquidem ſplendorem quendam ſenſibilem habet in iis laudibus, quae a vulgo tribuuntur, in ſcriptis, decretis et ſe-



XXV. in Num. In Hexaplis quoque in locum, ὁ Σύρος· ὁ εἰδὼς τὰ κρυπτά. Sic etiam Onkelos et Abenezra in locum Gen. XLI, 45. Chronicon Alexandr. ᾧ ἀπεκαλύφθη τὰ μυστήρια.

q) Forte ὕλαις.

r) Scribe Βενιαμὶν, ſic enim ſcribitur in textu S. Gen. XXV, 18. idque poſtulat etymi ratio.

s) Sic MS. Coll. Nou. Editi περί.

γραφομένοις ψηφίσμασιν, ἐν ταῖς ἀνδριάντων καὶ εἰκόνων ἀναθέσεσιν, ἐν πορφύραις καὶ στεφάνοις χρυσοῖς, ἐν ἅρμασι καὶ τεθρίπποις καὶ παραπομπαῖς ὄχλων. Ὁ τούτων οὖν ζηλωτὴς εἰκότως υἱὸς ἡμερῶν, αἰσθητοῦ φέγγους καὶ τῆς περὶ τὴν κενὴν δόξαν λαμπρότητος, ὠνομάσθη. Τοῦτο ὁ πρεσβύτερος λόγος καὶ πατὴρ, ὄντως εὐθύβολον καὶ κύριον ὄνομα αὐτῷ τίθεται, ἡ δὲ παθοῦσα ψυχὴ t) τὸ ὃ πέπονθεν ἁρμόττον· ὀδύνης γὰρ υἱὸν καλεῖ. Διὰ τί; ὅτι οἱ ἐν ταῖς κεναῖς φερόμενοι δόξαις, ὑπολαμβάνονται μὲν εὐδαιμονεῖν, πρὸς ἀλήθειαν δὲ κακοδαιμονοῦσι. Τὰ γὰρ ἀντιπνέοντα πολλά· βασκανίαι, φθόνοι, συνεχεῖς ἔριδες, φιλονεικίαι ἀκατάλλακτοι μέχρις θανάτου, δυσμένειαι παισὶ παίδων κατὰ διαδοχὰς παραδιδόμεναι, u) κλῆρος οὐ κτητός. Ἀναγκαίως οὖν ὁ θεοφράδμων, ἐν αὐταῖς ὠδῖσιν ἀποθνήσκουσαν, x) ἣν τίκτει κενοδοξίαν παρέστησεν. y) Ἀπέθανε γὰρ, φησι, Ῥαχὴλ δυστοκήσασα· ἐπειδὴ τῷ ὄντι ψυχῆς ἐστι θάνατος, z) δόξης αἰσθητῆς καὶ κενῆς σπορά τε καὶ γέννησις. Τί δ' οἱ τοῦ Ἰωσὴφ παῖδες Ἐφραΐμ τε καὶ Μανασσῆς; οὐ πάνυ φυσικῶς ἐξωμοιοῦντο δυσὶ τοῖς πρεσβυτάτοις υἱοῖς τοῦ Ἰακὼβ, a) Ῥουβίμ τε καὶ Συμεών; λέγει γὰρ, b) οἱ δύο υἱοί σου, οἱ γενόμενοι ἐν Αἰγύπτῳ, πρὸ τοῦ με ἐλθεῖν εἰς Αἴγυπτον, ἐμοί εἰσιν· Ἐφραΐμ καὶ Μανασσῆς ὡς Ῥουβὶν καὶ Συμεὼν ἔσονταί μοι. Τίνα οὖν τρόπον οἱ δύο τοῖς δυσὶν ἐφαρμόζονται, θεασώμεθα. Ῥουβὶν μὲν σύμβολον εὐφυΐας ἐστίν· ἑρμηνεύεται γὰρ ὁρῶν υἱός· ἐπειδὴ πᾶς ὁ εὐθιξίᾳ καὶ εὐφυΐᾳ χρώμενος, ὁρατικός. Ἐφραΐμ δὲ, ὡς πολλάκις εἴπομεν

t) Melius, vt videtur, τῷ ὅ. Ibid. repone φυρώμενοι, pro φερόμενοι.

u) Κλῆρος οὐκ εὐκτός. Markland.

x) MSS. ἥ.

y) Gen. XXXV, 18.

z) Scribendum videtur, δόξης αὖ θνητῆς τε καὶ κενῆς.

natus consultis, in statuarum atque imaginum erectarum honoribus, in purpuris et corollis aureis, in curribus atque quadrigis, et turbae comitatu. Horum igitur aemulator iure dictus est *filius dierum*, id est, fulgoris sensum afficientis, et claritatis eius quae in vana gloria cernitur. Hoc rectum profecto et proprium ei nomen imposuit pater, et senilis ratio; anima autem, quae perpessa est, aliud ei quod passa fuerat congruens, indidit: moeroris enim filium appellat. Qua de caussa, quia ii quos inanis effert gloria, vulgo quidem existimantur beati, reapse autem sunt infelices. Sunt enim pleraque ipsis aduersaria: liuor, inuidia, crebrae aemulationes, contentiones ad mortem vsque implacabiles, simultates et offensiones natis natorum successione traditae, sors haud ambienda. Ergo necessario diuinus vates illam vanam gloriam iam parturientem, in ipsis parturitionis doloribus occumbentem repraesentat. *Mortua enim*, inquit, *est Rachel, partus aegritudine.* Quoniam reuera gloriae sensibilis et inanis semen ac procreatio, animae mors est. Quid vero Iosephi liberi Ephraim atque Manasses? annon satis congruenter comparantur duobus Iacobi filiis natu maximis, Rubeno et Simeoni? Ait enim, *Duo liberi tui, nati in Aegypto, priusquam in eam regionem me conferrem, mei sunt: Ephraim et Manasses aeque chari erunt mihi, atque Ruben et Symeo.* Spectemus ergo qui duo conueniant duobus; ac Rubenus quidem bonae indolis nota est: exponitur enim, *videns filius:* quoniam quisquis acumine mentis bonaque indole valet, est perspicax. Ephraimus autem, vt saepe alias diximus, memoriae signum est, quandoquidem exponitur, *Fructus pro-*

a) Et hic et alibi scribe, Ῥουβὶν, ex nominis notatione. Infra enim ἑρμηνεύεται γὰρ ὁρῶν υἱὸς, sc. ראה *vidit*, et בן *filius*. Vox vero ista a Iosepho corrupte scribitur, Ῥούβηλος. Vnde etiam in Lexic. Origen. ῥουβὴλ πνεῦμα θεοῦ, quasi deriuetur a רוח et אל.

b) Gen. XLVIII, 5.

μεν c) ἐν ὑτέροις, μνήμης μεταληφθεὶς γάρ ἐςι καρποφορία, καρπὸς δὲ ψυχῆς ἄριςος ἡ μνήμη· συγγενὲς δὲ ὐδὲν ἕτερον οὕτως τῷ ἑτέρῳ, ὡς εὐφυεῖ τὸ μεμνῆσθαι. Πάλιν ὁ Συμεὼν, ὄνομα μαθήσεως καὶ διδασκαλίας ἐςὶν, εἰσακοὴ γὰρ ἑρμηνεύεται· μανθάνοντος δ' ἴδιον ἀκούειν τε καὶ προσέχειν τοῖς λεγομένοις. Ὁ δὲ Μανασσῆς, ἀναμνήσεως σύμβολόν ἐςι· οὕτω γὰρ καλεῖται, ἐκ λήθης· τῷ δ' ἐκ λήθης ἔξω προϊόντι συμβαίνει κατὰ τὸ ἀναγκαῖον ἀναμιμνήσκεσθαι· μαθήσεως δὲ ἀνάμνησις οἰκεῖον. Πολλάκις γὰρ τοῦ μανθάνοντος ἀποῤῥεῖ τὰ θεωρήματα, μὴ δυναμένου δι' ἀσθένειαν κρατεῖν, καὶ πάλιν ἐξ ἀρχῆς d) ὑπαναπλεῖ. Τὸ μὲν οὖν τῆς ἀποῤῥοῆς πάθος, ὀνομάζεται λήθη, τὸ δὲ τῆς παλιῤῥοίας, ἀνάμνησις. Ἆρ' ὖ προσφυῶς εὐφυΐᾳ μὲν ἡ μνήμη, μαθήσει δὲ ἀνάμνησις ἐφαρμόζεται; καὶ μὴν ὃν λόγον ἔχει Συμεὼν πρὸς Ῥὖβὶν, τὸ δ' ἐςὶ μάθησις πρὸς φύσιν, τῦτον ἔχει λόγον Μανασσῆς πρὸς Ἐφραΐμ, τὸ δ' ἐςὶ πρὸς μνήμην ἀνάμνησις. Ὡς γὰρ τὸ εὐφυὲς ἄμεινον τοῦ μανθάνοντος (τὸ μὲν γὰρ ἔοικεν ὁράσει, τὸ δὲ ἀκοῇ· ἀκοὴ δὲ ὁράσεως τὰ e) δεύτερα φέρεται) οὕτω τὸ μνημονικὸν τῦ ἀναμιμνησκομένυ πανταχῦ κρεῖττον· ὅτι τὸ μὲν λήθῃ κέκραται, τὸ δὲ ἀμιγὲς καὶ ἄκρατον ἐξ ἀρχῆς ἄχρι τέλυς διαμένει.

Καὶ μὴν τόν γε τῦ ἀρχιπροφήτυ πενθερὸν, τότε μὲν Ἰοθὸρ, τότε δὲ Ῥαγυὴλ οἱ χρησμοὶ καλῦσιν. Ἰοθὸρ μὲν, ὅταν τῦφος εὐημερῇ· μεταληφθεὶς γάρ ἐςι f) περισσός· περιττὸν δὲ g) ἀψευδεῖ βίῳ τῦφος, γέλωτα μὲν τὰ ἴσα καὶ ἀναγκαῖα τῷ βίῳ τιθέμενος, τὰ δὲ πλεο-

c) Sc. supra: *Quod resipuit Noe*, p. 290. Tom. III. ed. n.

d) Hoeschelius scribit ὑπαναπολεῖ. Forte vero ἐπαναπολεῖ. Vid. de Agricult. p. 56. Tom. III. ed. n.

e) MS. Trin. δευτερεῖα.

f) Idem etymon nominis Iethro traditur a nostro supra L. de Agricult. p. 20. T. III. ed. n. Sic quoque Origen. Cyrill.

*productio.* Fructus vero animi praestantissimus est memoria: porro nulla res tam cognata est alteri, atque memoria habili ingenio. Rursus Symeo nomen est doctrinae et disciplinae, siquidem explicatur, *exauditio:* proprium autem est eius qui discit, aurem accommodare, et attendere dictis. Verum Manasses recordationis nota est: sic enim appellatur, *Ex obliuione.* Ei vero qui *ex obliuione* foras progreditur, reminiscatur necesse est. Atqui institutionis propria est recordatio. Etenim saepe effluunt discenti notiones, cum eas prae imbecillitate continere nequit, rursusque de integro remeant: quare affectus effluxionis nominatur obliuio, refluxus vero recordatio. Annon igitur apte indoli quidem bonae memoria, disciplinae vero recordatio congruit? Et sane quam rationem habet Symeo ad Rubenum, (hoc est, disciplina ad naturam,) eandem quoque habet Manasses ad Ephraimum, id est, ad memoriam recordatio. Vt enim quod indole praestat, melius est eo quod discit: (siquidem illud aspectui simile est, hoc autem auditui. Auditus vero secundas post visum fert partes:) ita quod memoria valet, eo quod recordatur vbique antecellit, propterea quia recordatio cum obliuione mixta est, memoria vero sincera et pura ab initio ad extremum permanet.

Praeterea socerum principis prophetarum, interdum Iothorem, interdum Raguelem nominant oracula; ac Iothorem quidem, cum fastus floret ac viget: (Iothor enim latine translatus, est *superfluus:*) fastus autem est superuacaneus in vita veraci, dum aequalia et necessaria vitae

Cyrill. Alexandr. Glaph. in Exod. L. I. Innuit vero hic Philo notanter Iethronem et Raguelem vnum fuisse hominem, duobus nominibus appellatum. Sic etiam Iosepho visum Antiq. L. II. c. 12. Ita etiam Theodoret. qu. in Exod. Aliter vero longe Euseb. Praep. Euang. L. IX. c. 29. ex Demetrio.

g) Quidni vero ἀπλανεῖ. Ita supra de Agricult. l. c.

ἀνωτέρω στόμα δέρματος· κατέκλυσαν τὸν ἡγεμόνα νοῦ, καὶ p) ἐπῄεσαν εἰς βυθὸν ἔσχατον, ὡς μηδ' ἀνανήξασθαι, μηδὲ μικρὸν ὅσον δυνηθῆναι q) ἀνασχεῖν. Καὶ τοῦτο ἔπαθεν, ἕως ὁ εἰρηνικὸς καὶ ἱερεὺς τοῦ θεοῦ r) τρανὸς Φινεὲς, ὑπέρμαχος αὐτοκέλευστος ἦλθε, φύσει μισοπόνηρος ὢν, καὶ ζήλῳ τῶν καλῶν κατεσχημένος· ᾧ σειρομάστην λαβόντι, τὸ δ' ἔστιν, ἠκονημένον καὶ ὀξὺν λόγον, μαστεύειν καὶ ἀναζητεῖν ἕκαστα ἱκανὸν, ἐξεγένετο μὴ φενακισθῆναι, ῥώμῃ δὲ καρτερᾷ χρησαμένῳ καταικεντῆσαι διὰ τῆς μήτρας τὸ πάθος, ἵνα μηδὲν ἔτι κακὸν θεήλατον τίκτῃ. Πρὸς τούτοις καὶ ὁ μέγιστος ἐνίσταται τῷ ὁρατικῷ γένει πόλεμος, ἐν ᾧ τῶν διαγωνισαμένων s) διεφώνησεν οὐδεὶς, ἀλλ' ἄτρωτος καὶ σῶος t) ἐπανῆλθε, τοῖς νικητηρίοις ἀναδούμενος στεφάνοις. Ἓν μὲν δὴ τοῦτο ἐκ τῆς Μαδιὰμ, ἐδηλοῦτο· ἕτερον δὲ, τὸ u) κρεῖττον καὶ δικαστικὸν εἶδος, ὃ καὶ κατ' ἐπιγαμίαν οἰκειοῦται γένει τῷ προφητικῷ. x) Τῷ ἱερεῖ, φησὶν οὖν, τῆς κρίσεως καὶ τῆς δίκης, εἰσὶν ἑπτὰ θυγατέρες· συμβολικῶς αἱ τοῦ ἀλόγου δυνάμεις, γονή τε καὶ φωνὴ, καὶ πέντε αἰσθήσεις, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρός. Διὰ γὰρ τῶν ἑπτὰ δυνάμεων τούτων, αἱ y) προβάσεις καὶ παραυξήσεις τοῦ πατρὸς νοῦ, ταῖς ἐγγινομέναις καταλήψεσι συνίστανται· παραγενόμεναι δ' ἐπὶ τὰ οἰκεῖα ἑκάστη, χρώματα μὲν καὶ σχήματα ὅρασις, φωνὰς δὲ ἀκοὴ, ἀτμοὺς δὲ ὄσφρησις, χυλοὺς δὲ γεῦσις, καὶ αἱ ἄλλαι πρὸς τὰ ἁρμόττοντα ἑαυταῖς, ἀντλοῦσι τρόπον τινὰ τὰ ἐκτὸς αἰσθητὰ, ἕως ἂν πληρώσωσι τὰς τῆς ψυχῆς δεξαμενὰς· ἐξ ὧν z) πίνουσι τὰ πρόβατα τοῦ πατρὸς, τὴν καθαρωτάτην λέ-

γω

p) Quidni ἐπίεσαν a πιέζω, *premo*.

q) Melius ἀνακύψαι.

r) Forte θεραπευτὴς, vt supra L. de Cain, vel ὀτρυνθεὶς.

s) Ita scribit Philo ex textu S. Exod. XXXI, 49. Vox autem ista ex vsu Hellenistic. *caedem et interitum* significat. Ezech. XXXVII, 11. 1 Reg. XXX, 19. Vide supra de Ebriet. p. 223. not. a) Tom. III. ed. n.

immiserunt in profundum altissimum, vnde nequeat enatare, ac ne tantillum quidem emergere. Idque perpessa est, donec pacificus et facundus sacerdos Dei Phinees defensor spontaneus venit, naturali in improbos odio concitatus, et ardenti honestatis amore correptus: eique accidit, cum hastile accepisset, hoc est, acutam et subtilem rationem, quae indagare et inquirere singula posset, vt non deciperetur, sed valido robore adhibito affectum per vterum transfigeret, ne vllum amplius malum ira Dei inuectum pareret. Aduersus istos etiam maximum a perspicaci hominum genere bellum suscipitur, in quo dimicantium *nemo dissonuit*, sed vnusquisque saluus et incolumis rediit, corollis et fertis triumphalibus redimitus. Atque haec vna est explanatio nominis Madian: altera est praestantior et iudicialis species, quae per affinitatem et nuptias perspicaci generi copulatur. *Sacerdoti* sunt igitur, inquit, iudicii et iustitiae (*Midian*) *septem filiae.* Symbolice, facultates animae partis rationis expertis, generatio vox, et quinque sensus, *pascentes pecora parentis.* Etenim per has septem facultates progressus et incrementa patris animi, ex perceptionibus inde natis conficiuntur. Hae porro singulae cum ad obiecta propria peruenere; visus nimirum ad colores et figuras, auditus ad voces, odoratus ad odores, gustatus ad sapores, itemque caeterae ad sibi ipsis conuenientia, hauriunt nescio quo pacto quaedam exterius sensum mouentia, donec animi canales et receptacula impleuerint: vnde oues patris potant,

t) Videtur deesse πᾶς. Vid. Lib. de Conf. Ling. p. 338. Tom. III. ed. n.

u) Scribe κριτικὸν ob sequens δικαστικόν. Ideo etiam quia alluditur ad nomen Madian, cuius notatio κρίσιν significat.

x) Textus S. Exod. II, 16. ἦσαν.

y) Alludit noster ad vocem πρόβατα.

z) Scribe ποτίζουσι, tum ex sensu, tum textu biblico.

γῳ τοῦ λογισμοῦ a) ποίμνην, ἀσφάλειαν καὶ κόσμον περιφέρουσαν ἐν αὐτῷ. Παραγενόμενοι δ' οἱ φθόνου καὶ βασκανίας ἑταῖροι, πονηρᾶς ἀγέλης ἡγεμόνες, ἐλαύνουσιν αὐτὰς τῆς κατὰ φύσιν χρήσεως· αἱ μὲν γὰρ τὰ ἐκτὸς ἄγουσιν εἴσω πρὸς, οἷα δικαστὴν καὶ βασιλέα, τὸν νοῦν, ἵν' ἄρχοντι χρώμεναι τῷ βελτίστῳ κατορθῶσιν· οἱ δ' ἀντικάθηνται διώκοντες, καὶ τ' ἀναντία παραγγέλλοντες, b) ἐξὸν τὸν νοῦν ἐπισπᾶσθαι καὶ ἀγώγιμα παραδιδόναι τὰ φαινόμενα· μέχρις ἀναστὰς ὁ τέως ἠρεμεῖν τρόπος δοκῶν φιλάρετος καὶ ἐπιθειάσας, ὄνομα Μωσῆς, ὑπερασπίσει καὶ ῥύσεται αὐτὰ τῶν c) κατεχόντων, ποτίμοις λόγοις θρέψας τὴν τοῦ πατρὸς ποίμνην. Ἐκφυγοῦσαι δὲ τὴν ἐπίθεσιν τῶν διανοίας μὲν ἐχθρῶν, τὰ δὲ d) περίαπτα, ὥσπερ ἐν τραγῳδίᾳ μόνα ἐζηλωκότων, οὐκέτι πρὸς Ἰοθὸρ, ἀλλὰ πρὸς Ῥαγουὴλ ἀφικνοῦνται. Καταλελοίπασι μὲν γὰρ τὴν πρὸς τῦφον συγγένειαν, οἰκειοῦνται δὲ ἀγωγῇ νομίμῳ· μοῖρα τῆς ἱερᾶς ἀγέλης e) ἀξιώσασαι γενέσθαι, ἧς ὁ θεῖος ἀφηγεῖται λόγος, ὡς δηλοῖ τ' οὔνομα, ποιμασία γάρ ἐστι θεοῦ. Ποίμνης δ' ἐπιμελουμένου τῆς ἰδίας, ἐξ ἑτοίμου ἀγαθὰ πάρεστιν ἀθρόα τοῖς πειθαρχοῦσι καὶ μὴ ἀφηνιάζουσι τῶν θρεμμάτων. Ἄδεται δὲ καὶ ἐν ὕμνοις ᾆσμα τοιοῦτον· f) κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. g) Πευστέον οὖν εἰκότως ποιμένι βασιλεῖ χρώμενος τῷ θείῳ λόγῳ νοῦς, τῶν ἑπτὰ θυγατέρων αὐτοῦ, h) διά τί συντείνασαι μετὰ πολλοῦ τάχους τήμερον ἀφίχθε; πρότερον γὰρ οὔτ' ἐνετυγχάνετε

τοῖς

a) Sic scribo ex MSS. pro μνήμην. Ita etiam infra θρέψας τὴν τοῦ πατρὸς ποίμνην. Mox ibid. scribendum περιφέρουσαι.

b) Locus obscurus, et, ni fallor, mendosus. Forte reponendum ἐξ ὧν vel ἔξω. Markland sic restituit, παραγγέλλοντες· ἐξ ὧν τὸν νοῦν ἐπισπᾶσθαι καὶ ἀγώγιμα αἰσθήσει παραδιδόναι etc. Infra vero pro φαινόμενα, omnino reponendum ποιμαινόμενα. Cui emendationi contextus abunde fidem facit. Atque adeo sic vertendum duxi.

tant, puriſſimam intelligo mentis gregem, quae ſecuritatem et ornatum ſimul affert. Cum autem aduenerint liuoris et inuidiae ſocii, praui duces armenti, abigunt eas ab vſu qui ſecundum naturam eſt. Illae ſiquidem *facultates*, quae foris ſunt intro agunt ad animum tanquam iudicem et regem, vt degentes ſub principe optimo recte agant: hi vero e regione collocati perſequuntur, et contraria monentes, vnde extra protrahatur mens et pecudes ſibi ad paſcendum datas, abducendas, prodat; donec excitata indoles proba ac diuinitus afflata, quae hucusque quieſcere videbatur, nomine Moſes, protegat ac liberet illas ab inuadentibus, poculentis ſermonibus alens parentis gregem. Vbi vero impetum animi hoſtium qui ſola aſcititia, velut in Tragoedia, aemulantur, non amplius ad Iothorem, ſed ad Raguelem accedunt: deſeruerunt enim cognationem cum faſtu, et probo vitae inſtituto ſe addixerunt, ac petierunt pars armenti ſacri fieri, cui diuinum praeeſt verbum, vt nomen indicat quo ſignificatur, *Paſtoritia cura Dei.* Porro dum hoc proprio gregi inuigilat, ſtatim crebra occurrunt bona pecudibus morigeris et non contumacibus. Enimuero canitur inter hymnos canticum eiusmodi: *Dominus paſcit me, et nihil mihi deerit.* Iure ergo animus paſtore regio, verbo diuino eruditus, ſciſcitabatur de ſeptem filiabus, *Curnam tanta feſtinatione contendentes hodie rediiſtis?* Cum enim antea ſenſibilibus occurreretis, diu foris immorantes, vix



c) Melius forſan κατατρεχόντων.

d) Ita infra p. 1075. Hinc vide annon Heſychius emendandus v. περιάπτων, περιαμμάτων, forte περικαλυμμάτων.

e) Forſan ex loci ſenſu ἀξιωθεῖσαι.

f) Pſ. XXII, 1.

g) Scribe πεύσεται.

h) Exod. II, 18. 19.

τοῖς αἰσθητοῖς, μακρὸν χρόνον ἔξω διατρίβουσαι, μόλις ἐπανήκετε δελεαζόμεναι πρὸς αὐτῶν· νυνὶ δ᾽ οὐκ οἶδ᾽ ὅ, τι παθοῦσαι, i) συντόμως παρὰ τὸ εἰωθὸς ἐπανήκετε. Φήσουσιν οὖν, ὅτι οὐκ αὐταὶ γεγόνασιν αἴτιαι τοῦ τὸν δίαυλον ἐπὶ τὰ k) αἰσθητὰ καὶ ἀπὸ τῶν αἰσθητῶν ἀπνευστὶ καὶ μετὰ πολλῆς ῥύμης δραμεῖν· ἀλλ᾽ ὁ ῥυσάμενος αὐτὰς l) ἄνθρωπος ἀπὸ τῶν τῆς ἀγρίας ἀγέλης ποιμένων· Αἰγύπτιον δὲ καλοῦσι Μωσῆν, τὸν οὐ μόνον Ἑβραῖον, ἀλλὰ καὶ τοῦ καθαρωτάτου γένους ὄντα Ἑβραίων, ὃ ἱερᾶται μόνον· οὐ δυνάμεναι τὴν ἑαυτῶν φύσιν ὑπερβῆναι. Μεθόριοι γὰρ αἱ αἰσθήσεις οὖσαι τῶν νοητῶν τε καὶ αἰσθητῶν, ἀγαπητὸν ἐὰν ἑκατέρων ἐφίωνται, ἀλλὰ μὴ ὑπὸ μόνων τῶν αἰσθητῶν ἄγωνται· τὸ δ᾽ οἴεσθαι ὅτι μόνοις ποτὲ τοῖς κατὰ διάνοιαν ἐπανέξουσιν, εὐήθεια πολλή. Οὗ χάριν, ἀμφότερα τιθέασι· διὰ μὲν τοῦ, ἄνθρωπος, τὰ m) μόνῳ λόγῳ θεωρητὰ μηνύουσαι, διὰ δὲ τοῦ, Αἰγύπτιος, παριστᾶσαι τὰ αἰσθητά. Ταῦτ᾽ ἀκούσας, καὶ πάλιν πεύσεται, ποῦ ἐστιν ὁ ἄνθρωπος; ἐν τίνι μέρει τῶν καθ᾽ ὑμᾶς n) οἰκεῖον τὸ λογικὸν εἶδος; ἵνα τί αὐτὸν ῥᾳδίως οὕτω καταλελοίπατε, ἀλλ᾽ οὐχ, ἅπαξ ἐντυχοῦσαι, περιέχετε κτῆμα κάλλιστον καὶ λυσιτελέστατον ἑαυταῖς; Ἀλλ᾽ εἰ μὴ πρότερον, νῦν αὐτὸν καλέσατε, ὅπως ἂν φάγῃ καὶ τραφῇ ταῖς ὑμετέραις o) βελτιώσεσι καὶ πρὸς αὐτὸν οἰκειώσεσι. Τάχα γὰρ καὶ οἰκήσει παρ᾽ ἡμῖν, καὶ τὸ πτηνὸν καὶ τὸ θεοφόρητον καὶ προφητικὸν γένος, ὄνομα Σεπφώραν, ἄξεται.

Ταῦτα καὶ περὶ τούτων· ἀλλὰ καὶ τὸν Ὡσηὲ μετονομάζει Μωσῆς εἰς τὸν Ἰησοῦν, τὸν ποιὸν εἰς ἕξιν μεταχαράτ-

i) Melius συντόνως. Supra enim ſcribitur διὰ τί συντείνασαι etc. It. lib. de Abrah. p. 372. Ed. Par. Cicero Orat. pro Muren. *contento curſu.* vid. Hes. v. σύντονον. Emendo ergo pariter Philonem lib. III. de vita Moſ. p. 676.

k) Anne θεωρητά, vel νοητά. Vid. infra lin. 16.

tandem reuertebamini, delinitae ab ipsis. Nunc autem nescio quid vobis acciderit quod tam propere praeter morem redieritis. Dicent igitur, se non esse in caussa cur velocissime, ad res sensibiles a sensibilibus, et contento cursu stadio bis remenso, percurrerint: sed potius *hominem* (*Aegyptium*) qui ipsas a feri armenti pastoribus liberauerat: (vbi Mosem vocant Aegyptium, qui non Hebraeus tantum erat, verum etiam e purissimo genere Hebraeorum oriundus, quod solum sacerdotio ornatur:) eo quod non possent naturam suam transcendere. Nam cum sensus in confinio sint rerum incorporearum ac sensibilium, satis est si alterutra expetant, et non a solis sensibilibus abducantur; summae vero stultitiae esset censere ipsas solis rebus animi velle incumbere. Quapropter vtraque ponunt: cum per *hominem*, ea quae ratione percipiuntur denotent, per *Aegyptium* autem; sensum mouentia repraesentent. His auditis autem, iterum percontabitur, *vbinam ille homo est?* quanam in parte vestri, habitat species rationalis? Quare ipsum tam facile deseruistis? Cur non potius, cum semel in eum incidissetis, possessionem pulcherrimam longeque vobis vtilissimam detinuistis? Verum si minus ante, nunc saltem ipsum aduocate, *vt comedat*, et alatur vestris ad virtutem progressibus, et familiari cum eo consuetudine. Nam fortasse apud nos habitabit, et Sepphoram, alatum a Deo inspiratum et propheticum genus, ducet.

Atque haec quidem his de rebus hactenus: verum Ozee quoque nomen Moses in Ioshua commutat, qua-

 litate

l) Addendum Αἰγύπτιος, et sic Philonem notanter scripsisse nullus dubito. Sequitur enim, Αἰγύπτιον δὲ καλοῦσι Μωσῆν. Ita quoque textus S.

m) Μόνῳ restitui ex MSS. Coll. Nou. et Vat.

n) Scribe οἰκεῖ οὖν.

o) Forte δεξιώσεσι.

χαράττων. Ὡσηὲ μὲν γὰρ ἑρμηνεύεται, ποιὸς οὗτος, Ἰησοῦς δὲ, σωτηρία κυρίου, ἕξεως ὄνομα τῆς ἀρίστης. Ἕξεις γὰρ τῶν καθ᾽ αὐτὰς ποιῶν ἀμείνους· ὡς μουσικὴ μουσικοῦ, καὶ ἰατρικὴ ἰατροῦ, καὶ παντὸς τεχνίτου τέχνη p) ποιὰ, καὶ ἀιδιότητι καὶ δυνάμει καὶ τῇ περὶ τὰ θεωρήματα ἀπταίστῳ ἀκρότητι. Ἡ μὲν γὰρ ἕξις, ἀίδιον, ἐνεργοῦν, τέλειον· ὁ δὲ ποιὸς, θνητὸν, πάσχον, ἀτελές. Κρεῖττον δὲ θνητοῦ μὲν τὸ ἄφθαρτον, πάσχοντος δὲ τὸ δρῶν αἴτιον, τὸ δὲ τέλειον ἀτελοῦς. Οὕτω μετεχαράχθη καὶ τὸ τοῦ λεχθέντος νόμισμα πρὸς ἰδέαν βελτίονα. Ὁ δὲ Χάλεβ, καὶ αὐτὸς ὅλος ἀλλάττεται· ἐγένετο γάρ, φησι, q) πνεῦμα ἕτερον ἐν αὐτῷ· ὡσανεὶ τοῦ ἡγεμονικοῦ μεταβαλόντος πρὸς ἄκραν τελειότητα. Καὶ γὰρ ἑρμηνευθείς ἐστι Χάλεβ, r) πᾶσα καρδία. Τοῦτο δὲ σύμβολον τοῦ μὴ ἐκ μέρους ἐπαμφοτερίζουσαν καὶ ἀντιῤῥέπουσαν, ἀλλ᾽ ὅλην δι᾽ ὅλου τὴν ψυχὴν μεταβεβλῆσθαι πρὸς τὸ δόκιμον, κἂν εἴ τι μὴ πάνυ ἐπαινετὸν ἦ, λόγοις τοῖς περὶ μετανοίας ἐξοικίσασαν. s) Οὕτω γὰρ ἐκνιψαμένη τὰ καταῤῥυπαίνοντα, καὶ τοῖς φρονήσεως λουτροῖς χρησαμένη καὶ t) καθαρσίοις, ἔμελλε φαιδρύνεσθαι. Τὸν δὲ ἀρχιπροφήτην συμβέβηκεν εἶναι πολυώνυμον· ὁπότε μὲν γὰρ τοὺς χρησμῳδουμένους χρησμοὺς ἑρμηνεύων ὑφηγεῖται, προσαγορεύεται Μωσῆς· ὁπότε δ᾽ εὐχόμενος εὐλογεῖ τὸν λεὼν, u) ἄνθρωπος θεοῦ· ἡνίκα δὲ Αἴγυπτος τὰς ὑπὲρ τῶν ἀσεβηθέντων δίκας ἐκτίνει, τοῦ βασιλεύοντος τῆς χώρας, Φαραὼ, θεός. Διὰ τί δέ; ὅτι τὸ μὲν νόμους μεταγράφειν ἐπ᾽ ὠφελείᾳ τῶν ἐντευξομένων, ψηλαφῶντός ἐστι καὶ διὰ χειρὸς ἔχοντος ἀεὶ τὰ θεῖα, καὶ ἀνακεκλημένου ὑπὸ τοῦ x) θεσπιῳδοῦ νομοθέτου, καὶ εἰληφότος παρ᾽ αὐτοῦ μεγάλην δωρεὰν, ἑρμηνείαν καὶ προφητείαν νόμων ἱερῶν. Μεταληφθεὶς γὰρ Μωσῆς, καλεῖται y) λῆμμα· δύναται δὲ καὶ ψηλάφημα,

p) Forte πᾶσα.

q) Num. XIV, 24.

r) Scil. quasi כל et לב.

s) Sic pro ὄντως MSS.

litate praeditum in habitum refingens. Exponitur enim Ozee, *Salus qualiscunque*: Ioshua vero, *Salus Domini,* habitus praeſtantiſſimi nomen. Nam habitus iis, qui ipſis afficiuntur, meliores ſunt, vt muſica muſico, et medicandi ars medico, itemque omni artifice ars quaeuis, tum aeternitate, tum potentia et inoffenſa notionum perfectione. Habitus enim eſt aeternum quiddam, efficax, abſolutum; ſed habitu praeditus, mortalis, patiens, imperfectus. Praeſtat autem rei mortali quod immortale eſt, et id quod agit, patienti, et abſolutum inchoato. Itaque ſupradicti numiſma reformatum eſt in meliorem ideam. Quinetiam Chaleb ipſe totus permutatur; *etenim factus eſt*, inquit, *ſpiritus alius in ipſo;* tanquam parte principali in ſummam perfectionem transmutata. Chaleb enim ſignificat, *totum cor.* Hoc vero indicium eſt, animum non alteram in partem vergendo ac propendendo, ſed totum prorſus commutatum eſſe in id quod probum eſt, cum etiam, ſi quid in ipſa minus laudabile fuerit, id poenitentiae argumentis migrare fecerit. Sic enim ſordibus abſterſis et puris prudentiae lauacris adhibitis, nitida ac ſplendida redderetur. Iam vero prophetarum principi variae contigerunt appellationes: nam quando oracula a Deo edita interpretans enarrat, Moſes nuncupatur: quando autem precando benedicit populo, homo Dei: tum vero cum Aegyptus impie actorum poenas luit, Pharaonis regionis principis Deus vocatur. Cur ita? quia leges deſcribere ad eorum qui illas cognoſcent commoditatem, eius eſt, qui ſemper contrectet et in manibus habeat res diuinas et legislatoris qui a Deo ſurſum vocatus fuerit, et magnum ab eo munus acceperit, interpretationem ſcilicet,

 et

t) Forſan *καθαρσίοις*, ſic enim ſcribitur a Philone.

u) Deutr. XXIII, 1. et Exod. VII, 1.

x) Melius θεοῦ, alluditur autem ad Exod. XXIV, 1. 2.

y) Scil a מוש *tractauit.* Vid. aliud nominis etymon L. I. de vita Moſ. p. 607.

φημα, διὰ τὰς εἰρημένας αἰτίας. Τὸ δέ γε εὔχεσθαι καὶ εὐλογεῖν, οὐκ ἔστι τοῦ τυχόντος, ἀλλ' ἀνθρώπου τὴν πρὸς γένεσιν μὴ z) ἑωρακότος συγγένειαν, προσκεκληρωκότος δὲ ἑαυτὸν τῷ πάντων ἡγεμόνι καὶ πατρί. Ἀγαπητὸν γὰρ, εἴ τῳ ἐξεγένετο a) εὐλογιστίᾳ χρῆσθαι· τὸ δέ γε καὶ ἑτέροις περιποιεῖν τὸ ἀγαθὸν, τοῦτο μείζονος καὶ τελειοτέρας ψυχῆς, καὶ ὡς ἀληθῶς θειαζούσης τὸ ἐπάγγελμα· ἧς ὁ τυχὼν εἰκότως θεὸς κεκλήσεται. Θεὸς δὲ ὁ αὐτὸς οὗτος, ἅτε σοφὸς ὢν, καὶ διὰ τοῦτο ἄρχων παντὸς ἄφρονος, κἂν εἰ τοῖς βασιλείοις σκήπτροις ἐκεῖνος b) ἐφιδρύοιτο, μεγαλαυχῶν καὶ διὰ τοῦτο οὐχ ἥκιστα. Βούλεται γὰρ ὁ τῶν ὅλων ἡγεμὼν, κἂν ἀφόρητα ἀδικοῦντές τινες μέλλωσι κολάζεσθαι, παραιτητὰς ἔχειν τοὺς ἐντευξομένους ὑπὲρ αὐτῶν· οἳ τὴν τοῦ πατρὸς ἵλεων δύναμιν ἀπομιμούμενοι, μετριώτερον καὶ φιλανθρωπότερον χρήσονται ταῖς τιμωρίαις· θεοῦ δὲ τὸ εὐεργετεῖν ἴδιον.

Ἀποχρώντως οὖν περὶ τῆς τῶν ὀνομάτων ἀλλαγῆς τε καὶ μεταθέσεως εἰρηκότες, ἐπὶ τὰ ἑξῆς τῆς ἐφόδου τρεψόμεθα κεφάλαια. Εἵπετο δ' εὐθὺς ἡ γένεσις Ἰσαάκ· καλέσας γὰρ τὴν μητέρα αὐτοῦ Σάῤῥαν ἀντὶ Σάρας, φησὶ τῷ Ἀβραάμ, c) δώσω σοι τέκνον. Ἐν μέρει δ' ἕκαστον ἀκριβωτέον· ὁ τοίνυν κυρίως διδοὺς ὁτιοῦν, ἴδιόν τι πάντως ἑαυτοῦ δίδωσιν· εἰ δὲ τοῦτ' ἀψευδές ἐστιν, γένοιτ' ἂν οὐχ ὁ ἄνθρωπος Ἰσαάκ, ἀλλ' ὁ συνώνυμος τῆς ἀρίστης τῶν εὐπαθειῶν χαρᾶς, γέλως, ὁ ἐνδιάθετος d) υἱὸς θεοῦ, τοῦ διδόντος e) αὐτὸν μείλιγμα καὶ εὐθυμίαν εἰρηνικωτάταις ψυχαῖς. Ἄτοπον μὲν γὰρ ἕτερον ἄνδρα εἶναι, ἐξ ἑτέρου δὲ νόθα καὶ μοιχίδια παιδοποιεῖσθαι· καὶ μὴν τό

sc. ἢ θεόν

γε

z) Quidni vero ἡρμοκότος ex ἁρμόζω.

a) Scribe εὐλογίᾳ, vt supra.

b) Sic lege et supple, ἐφιδρύοιτο μεγαλαυχῶν· καὶ διὰ τοῦτο οὐχ ἥκιστα εὔχεται, βούλεται γὰρ, &c.

l. 2 from bottom – for it would be absurd to suppose any other husband than God

et explicationem legum sacrarum. Moses enim translatus *ex Hebraeo* nominatur *sumptio*; quinetiam *contrectatio* dici potest, ob eas quas diximus causas. Porro precari et benedicere, cuiusuis non est, sed eius qui cognationem cum rebus creatis non admiserit, sed semetipsum adiunxerit omnium principi parentique Deo. Praeclarum namque est, si cui contingit benedictionem consequi: verum aliis etiam bonum comparare, hoc animae praestantioris perfectiorisque et vere diuinitus afflatae professio est: qualem qui nactus est, iure Deus vocabitur. Idem vocatur hic Deus, siquidem est sapiens: ideoque omnis stulti rector, tametsi is regiis innitatur sceptris, atque ob hanc ipsam causam praecipue magnos spiritus ducit. Enimuero statuit vniuersitatis rector, licet nonnulli puniendi sint ob intolerabilia delicta, deprecatores habere, qui intercedant pro ipsis, quique patris sui vim propitiam imitantes, moderatius benigniusque supplicia infligant: Dei vero vtique proprium est benefacere.

Quoniam ergo de nominum mutatione et translatione abunde diximus, ad reliqua instituti nostri capita nos conuertamus. Sequitur statim natiuitas Isaaci; cum enim vocasset matrem ipsius Sarram pro Sara, ait Abrahamo, *Dabo tibi filium*: verum vnumquodque sigillatim nobis expendendum est. Is igitur qui proprie quidpiam donat, omnino aliquid sibi proprium dat; quod si sit verum, esset Isaacus, non homo, sed risus, qui eodem nomine vocatur, quo suauitatum optima, Laetitia videlicet, internus filius Dei, qui ipsum largitur ad delicias, et gaudium animis pacis studiosissimis. Absurdum siquidem fuerit alterum virum es-

 se,

c) Gen. XVII, 16.

d) Non ergo *Filius Dei* noua λόγυ appellatio. Sed nescio annon pro υἱὸς reponendum sit λόγος.

e) Nonnulli Codd. αὐτȣ̃.

γε θεὸν ἄνδρα τῆς φιλαρέτου διανοίας Μωσῆς ἀναγράφει, δι' ὧν φησιν· f) ἰδὼν κύριος, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς. Ἔλεον γὰρ καὶ οἶκτον λαβὼν τῆς ὑπὸ τοῦ θνητοῦ γένους μισουμένης ἀρετῆς, καὶ ψυχῆς τῆς φιλαρέτου, στειροῖ μὲν τὴν g) φιλόκαλον φύσιν, ἀνοίγνυσι δὲ τῆς εὐπαιδίας πηγὴν, εὐτοκίαν αὐτῇ χαριζόμενος. Ἡ δὲ Θάμαρ ἐγκύμων τε γενομένη θείων σπερμάτων, καὶ τὸν μὲν σπείραντα οὐκ ἰδοῦσα (λέγεται γὰρ τότε ἐγκαλύψασθαι τὸ πρόσωπον, ὡς Μωσῆς, ἡνίκα ἀπεστράφη, εὐλαβούμενος τὸν θεὸν ἰδεῖν) τὰ δὲ σύμβολα καὶ τὰ μαρτύρια διαθρήσασα, καὶ παρ' αὐτῇ h) δικάσασα, ὅτι θνητὸς ταῦτ' οὐ δίδωσιν· ἀνέκραγεν, i) οὗ τινος ταῦτ' ἐστιν, ἐξ ἐκείνου ἐν γαστρὶ ἔχω. Τίνος ὁ δακτύλιος; ἡ πίστις, ἡ τῶν ὅλων σφραγὶς, ἡ ἀρχέτυπος ἰδέα, ᾗ τὰ πάντ' ἀνείδεα ὄντα καὶ ἄποια, σημανθέντα ἐτυπώθη; τίνος δὲ καὶ ὁρμίσκος, k) ἡ ὁ κόσμος, εἱμαρμένη, ἀκολουθία, καὶ ἀναλογία τῶν συμπάντων, εἱρμὸν ἔχουσα ἀδιάλυτον; τίνος δὲ καὶ ἡ ῥάβδος; τὸ ἐρηρεισμένον, τὸ ἀκράδαντον, τὸ ἄτρεπτον, ἡ νουθεσία, ὁ σωφρονισμὸς, ἡ παιδεία; τὸ σκῆπτρον; Ἡ βασιλεία τίνος; ἆρ' οὐχὶ μόνου θεοῦ; Τοιγαροῦν ὁ ἐξομολογητικὸς τρόπος, Ἰούδας, ἡσθεὶς αὐτῆς τῷ κατεχομένῳ καὶ θεοφορήτῳ, παρρησιάζεται λέγων· δεδικαίωται, ἧς ἕνεκα αἰτίας ἐγὼ οὐδενὶ θνητῷ αὐτὴν ἔδωκα· ἀσεβὲς ἡγούμενος μιαίνειν βεβήλοις τὰ θεῖα. Μηνύει δὲ ἡ τρόπον μητρὸς ἀποκυήσασα φρόνησις τὸ αὐτομαθὲς γένος, ὅτι θεὸς αὐτὸ ἔσπειρε. Τεχθέντος γὰρ, ἐπισεμνύνεται φάσκουσα, l) γέλωτά μοι ἐποίησεν ὁ κύριος· ἴσον τῷ τὸν Ἰσαὰκ διέπλασεν, ἐδημιούργησεν, ἐγέννησεν, ἐπειδὴ γέλωτι ὁ αὐτὸς ἦν. Ἀλλ' οὐ παντός ἐστιν ἀκοῦσαι τὶ ἄκουσμα τοῦτο, πολλοῦ τοῦ δεισιδαιμονίας ῥυέντος παρ'

ἡμῶν

f) Gen. XXIX, 31.

g) Melius φιλόκοσμον. Sic enim Rachel, de qua agitur, audit. Et mox pro εὐπαιδίας scribe παιδείας, cuius erat Lex symbolum.

h) Forte εἰκάσασα.

se, ex altero vero spurios atque illegitimos liberos suscipere; ac sane Deum probae mentis virum Moses describit, dum ait, *Cum vidisset Dominus Lian odio haberi, aperuit vterum ipsius.* Etenim cum deploraret ac misericordia prosequeretur virtutem a mortali genere in odio habitam, animamque eius studiosam, sterilem quidem facit lautitiae cupidam naturam, aperit vero fontem foecunditatis, partum numerosum ipsi largitus. Thamar vero grauida facta diuinorum seminum, satorem quidem non vidit (dicitur enim tum *obtexisse faciem suam*, sicut Moses quando obuertit se, Deum videre veritus) perspectis vero signis et testimoniis, et re apud se iudicata, quod mortalis ea minime largiatur, vociferata est, *Cuius haec sunt? ex eo nimirum concepi vterumque gero.* Cuius est hic *annulus?* fides, vniuersitatis sigillum, idea exemplaris, qua omnia informia et qualitatis expertia, signata informataque sunt? Cuius item est haec *armilla:* mundi fatum, consequentia et proportio vniuersorum, connexionem continens indissolubilem? cuius porro est haec *virga?* res adeo stabilis, inconcussa, atque immutabilis, haec animaduersio, coërcitio et castigatio, haec disciplina? *sceptrum* vero, scilicet regnum, cuius est? Nonne solius Dei? Quocirca Iudas mores confitentis referens, eius foeminae afflatu atque inspiratione delectatus, cum maiore fiducia ait, *Ius obtinuit, propterea quod mortali nemini ipsam tradidi:* impium censens diuina prophanis contaminare. Indicat etiam prudentia quae matris more concepit et edidit genus per se edoctum, Deum ipsius satorem fuisse. Cum enim partus editus fuisset, ita se iactando praedicat, *Risum fecit mihi Dominus:* perinde ac si dixisset; Isaacum effinxit, efformauit, procreauit, quia idem erat

Isaacus

i) Gen. XXXVIII, 25.

k) Scribendum videtur, ἡ κόσμȣ εἱμαρμένȣ, vel ὁ κόσμος, ἡ εἱμαρμένη, &c.

l) Gen. XXI, 6. 7.

ἡμῖν κακοῦ, καὶ τὰς ἀνάνδρες καὶ ἀγεννεῖς ψυχὰς ἐπικλύσαντος. Διὸ προστίθησι, ὃς γὰρ ἂν ἀκούσῃ, m) συγχαρεῖταί μοι· ὡς ὀλίγων ὄντων, οἷς τὰ ὦτα ἀναπέπταται καὶ ἀνωρθίασαι πρὸς τὴν τῶν ἱερῶν τούτων λόγων ὑποδοχήν· οἳ διδάσκουσιν, ὡς ἄρα μόνου θεοῦ σπείρειν καὶ γεννᾷν τὰ καλὰ, ἔργον ἴδιον· πρὸς οὓς οἱ ἄλλοι πάντες κεκώφηνται. Στόματι δ' οἶδα ποτε προφητικῷ θεσπισθέντα n) διάπυρον τοιόνδε χρησμόν· ἐξ ἐμοῦ ὁ καρπός σου o) εὕρηται· τίς σοφὸς, καὶ συνήσει ταῦτα; συνετὸς, καὶ γνώσεται αὐτά; Τὸν δ' ὑπηχοῦντα, καὶ κρέοντα ἀόρατον ἀοράτως τὸ φωνῆς ὄργανον, ἐνενόυν καὶ ἐθαύμαζον ἅμα καταπληττόμενος καὶ τὸ εἰρημένον. Εἰ γάρ τι ἀγαθὸν ἐν τοῖς ὖσι, μᾶλλον δὲ καὶ ὁ σύμπας οὐρανός τε καὶ κόσμος, εἰ δεῖ τἀληθὲς εἰπεῖν, θεοῦ καρπός ἐστι, ὑφ' οἷα δένδρου συνεχόμενος τῆς ἀϊδίου καὶ ἀειθαλῦς φύσεως. Συνετῶν δ' ἐστι καὶ σοφῶν ἀνδρῶν, τὰ τοιαῦτα γινώσκειν καὶ ὁμολογεῖν, ὐκ p) ἀσήμων.

Τί μὲν οὖν ἐστι τὸ, δώσω σοι, λέλεκται· τὸ δὲ, ἐξ αὐτῆς μηνυτέον. Οἱ μὲν οὖν, τὸ ἔξω γινόμενον αὐτῆς ἐδέξαντο νομίζοντες ἄριστα κεκρίσθαι παρὰ ὀρθῷ λόγῳ, τὸ μηδὲν ἀποφαίνειν τὴν ψυχὴν ἴδιον αὐτῆς καλὸν, ἀλλὰ προσγινόμενον ἔξωθεν, κατὰ τὴν q) μεγαλόνοιαν τοῦ χάριτας ὀμβροῦντος θεοῦ. Οἱ δὲ, τὸ παραυτίκα τάχος· ἴσον γὰρ εἶναι, τὸ, ἐξ αὐτῆς, τῷ παραχρῆμα, εὐθὺς, ἀνυπερθέτως, ἄνευ μελλήσεως. Τῦτον δὲ τὸν τρόπον αἱ θεῖαι φιλοῦσι συμβαίνειν δωρεαὶ, φθάνουσαι καὶ τὰ χρόνων διαστήματα. Τρίτοι δέ εἰσιν, οἱ τὴν ἀρετὴν μητέρα τοῦ γεννητῦ εἶναι λέγοντες ἀγαθῦ, λαμβάνουσαν

τὰς

m) MS. Coll. Nou. οὐ χαριεῖταί μοι, et sic Philonem notanter scripsisse ex sequentibus liquet. Textus scribit sine negatione.

n) Forte διάφορον.

Iſaacus ac riſus. Verum non eſt cuiusuis audire hanc vocem, cum ſuperſtitionis malum late ſerpat apud nos, et effeminatos ignobilesque animos pene obruat. Idcirco adiicit, *Quisquis enim id audiuerit, non mecum gaudebit:* tanquam pauci admodum ſint qui aures patentes atque arrectas habeant ad ſacros ſermones excipiendos, qui nempe docent ſolius Dei proprium eſſe munus, ſerere et procreare quae honeſta ſunt, ad quos alii omnes obſurduere. Praeterea memini ore prophetico tale oraculum illuſtre fuiſſe pronunciatum: *Ex me fructus tuus inuenietur: quis ſapiens, et intelliget haec? quis prudens, et percipiet haec?* Eum porro qui reſonare facit, et ipſe inconſpicabilis pulſat inconſpicabiliter vocis inſtrumentum, animaduerti et admiratus ſum, quin et ſtupore ſum affectus ob id quod dictum eſt. Si quid enim boni eſt in iis quae ſunt vel vniuerſum etiam coelum et mundus (ſi verum dicendum eſt) Dei fructus eſt, aeterna ſemperque florente natura, velut arbore quadam munitus. Prudentum vero ſapientumque virorum eſt haec cognoſcere, iisque aſſentiri, non ignobilium.

Quid ergo ſibi velit, *Dabo tibi*, expoſitum eſt: quid autem ſignificet, *Ex ipſa*, aperiendum eſt. Id vero nonnulli ita acceperunt: nempe cenſebant, optime iudicatum eſſe a recta ratione, animum nullam ipſius propriam pulchritudinem indicare, ſed extrinſecus aduenientem ex benignitate Dei qui gratiarum imbrem effundit. Alii intelligunt promptam celeritatem; quod idem valeat, atque ſubito, repente, e veſtigio, nulla interpoſita mora, ſine cunctatione. Hoc vero modo diuina beneficia contingere ſolent, et temporum interualla anteuertunt. Sunt etiam alii qui aſſerunt, virtutem matrem eſſe

o) Ita MS. Coisl. pro *εὑρήσεται*, cui ſuffragatur quoque textus biblicus Hos. XIV. 14.

p) Melius ad ſenſum *ἀσυνέτων*, vel *ἀνεπιστημόνων*.

q) Forte *μεγάλην εὔνοιαν*, etc.

τὰς γονὰς παρὰ μηδενὸς θνητοῦ. Πρὸς δὲ τοὺς ζητοῦντας, εἰ στεῖρα τίκτει, (Σάῤῥαν γὰρ εἰσάγοντες πάλαι στεῖραν οἱ χρησμοὶ, νῦν ὅτι γενήσεται μήτηρ ὁμολογοῦσι) λεκτέον ἐκεῖνο· ὅτι γυνὴ μὲν στεῖρα τίκτειν οὐ πέφυκε, ὥσπερ οὐδὲ τυφλὸς βλέπειν, οὐδὲ κωφὸς ἀκούειν· ψυχὴ δὲ ἡ πρὸς τὰ φαῦλα ἐστειρωμένη, καὶ παθῶν ἀμετρίας καὶ κακιῶν ἄγονος, μόνη σχεδὸν εὐτοκίᾳ χρῆται, τὰ ἀξιέραστα τίκτουσα, τὸν ἀριθμὸν ἑπτά· κατὰ τὸ ᾀδόμενον ᾆσμα ὑπὸ τῆς χάριτος, r) Ἄννης, ἥ φησιν· στεῖρα ἔτεκεν ἑπτὰ, ἡ δὲ πολλὴ ἐν τέκνοις, ἠσθένησε. Καλεῖ δὲ πολλὴν μὲν, τὴν ἐκ μιγάδων καὶ συγκλύδων λογισμῶν s) συμπεφορημένων διάνοιαν, ἣ διὰ τὸ πλῆθος τῶν περὶ αὐτὴν ὄχλων καὶ θορύβων ἀνήκεστα κακὰ τίκτει· στεῖραν δὲ, τὴν μὴ παραδεχομένην θνητὸν ὡς γόνιμον σπόρον, ἀλλὰ τὰς τῶν φαύλων ὁμιλίας καὶ συνουσίας t) ἀναλίσκουσάν τε καὶ διαφθείρουσαν, περιεχομένην δὲ τῆς ἑβδόμης καὶ τοῦ κατ' αὐτὴν u) εἰρηνικωτάτου· τούτου γὰρ ἐγκύμων τε εἶναι βούλεται, καὶ μήτηρ λέγεσθαι. Τοιοῦτον ἦν καὶ τὸ ἐξ αὐτῆς· τὸ δὲ τρίτον, ὃ δὴ τέκνον ἐλέγετο, νῦν διασκεψάμεθα. Πρῶτον μὲν τοίνυν ἄξιον θαυμάσαι, τὸ μὴ πολλὰ τέκνα φάναι δώσειν, ἓν δὲ χαρίσασθαι μόνον. Διὰ τί δέ; ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει μᾶλλον ἢ δυνάμει πέφυκεν ἐξετάζεσθαι· x) μουσικὰ μὲν γὰρ, εἰ τύχοι, καὶ γραμματικὰ, καὶ γεωμετρικὰ, καὶ δίκαια, καὶ φρόνιμα, καὶ ἀνδρεῖα, καὶ σώφρονα πάμπολλά ἐστι· αὐτὸ δὲ τοῦτο τὸ μουσικὸν, καὶ γραμματικὸν, y) καὶ γεωμετρικὸν, ἔτι δὲ δίκαιον, καὶ σῶφρον, φρόνιμόν τε καὶ ἀνδρεῖον, ἓν αὐτὸ μόνον τὸ ἀνωτάτω, μηδὲν ἰδέας ἀρχετύπου διαφέρον, ἀφ' οὗ τὰ πολλὰ καὶ ἀμύθητα ἐκεῖνα διεπλάσθη. Ταῦτα μὲν περὶ τοῦ ἓν φάναι

r) 1 Sam. II, 5.

s) MS. Coll. Nou. συμπεφυρμένην, et sic recte. Vide Lib. de Migrat. p. 481. Tom. III. Ed. n.

t) Forte melius ἀναλυσκάζουσαν — διαφεύγουσαν.

u) Melius εἰρηνικοῦ τρόπου. Vel forte ἠρεμαιοτάτου, est enim sabbatum quietis symbolum.

se eius boni quod generatum est, quae satum a nullo mortali acceperit. Verum ad eos qui percontantur *an sterilis* pariat (cum enim Sarram olim *sterilem* inducerent oracula, eadem nunc matrem fore fatentur) hoc dandum est responsum; quod mulier quidem sterilis parere non soleat, vt nec caecus cernere, nec surdus audire: anima autem sterilis ad mala, nec immoderata desideria vitiaque producens, sola ferme foecunda est, prolem amore dignam pariendo, numerum septenarium: iuxta canticum a gratia, Anna, recitatum, dum canit, *Sterilis peperit septem, et quae multa erat atque abundans liberis, euasit infirma.* Vocat porro *multam* quidem mentem ex promiscuis et turbidis rationibus collectam: quae ex turbarum ac tumultuum, circa ipsam multitudine, intolerabilia procreat mala: *sterilem* vero dicit eam, quae non admisit mortale, vt prolificum, verum improborum congressum et consuetudinem vitauit et effugit, sed amplectitur septenarium eumque, qui iuxta ipsum pacificus est; eo siquidem *numero* grauida esse vult, eiusque mater praedicari. Tale quid innuebat istud, *Ex ipsa.* Iam vero tertium, quod *filius* dicebatur, perpendamus. Primum quidem igitur admiratione dignum est, quod se non multos liberos daturum dicat, vnum autem tantum filium se concessurum. Cur ita vero? quia scilicet quod pulchrum et honestum est, non tam copia, quam vi et facultate explorari solet; etenim musica, grammatica, atque geometrica, itemque iusta, prudentia, fortia, moderata ac temperata sunt quam plurima; verum illud ipsum musicum, grammaticum, geometricum, atque etiam iustum, temperans, prudens et forte, vnum est tantummodo supremum genus, nihil ab idea exemplari differens;

x) Sic MSS. Coisl. et Coll. Nou. Editi μουσικὸν, — γραμματικὸν &c.

y) Καὶ γεωμετρικὸν inserui fide Codd. quin etiam bene respondet praecedentibus, (et teste versione latina in Editis errore typographico omittebatur. P.)

φᾶναι δώσειν· νυνὶ δὲ τέκνον εἴρηκεν, ἐκ ἀμελῶς οὐδ᾽ ἀπεριεσκέπτως, ἀλλ᾽ ἕνεκα τοῦ παραςῆσαι, ὅτι οὐκ ὀθνεῖον, οὐδ᾽ ὑποβολιμαῖον, ἐδ᾽ αὖ θετὸν ἢ νόθον, ἀλλὰ γνήσιον καὶ z) ἀςεῖον· ὅτι ἐκ ὀθνεῖον ὄντως ἀςῆς ψυχῆς ἔγγονον· παρὰ γὰρ τὸν τόκον τὸ τέκνον εἴρηται, πρὸς ἔμφασιν οἰκειότητος, ᾗ φυσικῶς ἁρμόζεται τέκνα γονεῦσιν.

a) Εὐλογήσω δὲ, φησιν, αὐτὴν, καὶ ἔςαι εἰς ἔθνη b) δηλονότι ἐ μόνον ἡ γενικὴ ἀρετὴ ὡς ἂν εἰς ἔθνη τὰ c) πρὸς ἔσχατα τὰ εἴδη τέμνεται καὶ τὰ ὑπὸ τοῖς ἄδεσιν· ἀλλὰ καὶ ὅτι συμβέβηκεν, ὡς ζώων, οὕτω καὶ πραγμάτων εἶναι τρόπον τινὰ ἔθνη, οἷς μέγα ὄφελος ἀρετὴ προσεῖναι. Τὰ γὰρ ἔρημα καὶ χῆρα φρονήσεως πάντα ἐπιζήμια· καθάπερ οἷς οὐκ ἐπιλάμπει ἥλιος, ἐξ ἀνάγκης ζοφερά. Ἀρετῇ μὲν γὰρ γεωπόνος ἡμέρων φυτῶν ἐπιμελεῖται· ἀρετῇ δὲ καὶ ἡνίοχος ἅρμα ἐν ἱπποδρομίαις ἄπταιςον ἐλαύνει· ἀρετῇ δὲ καὶ κυβερνήτης οἰκονόμος d) οἰκονομεῖ κατὰ πλοῦν τὸ σκάφος. Ἀρετὴ καὶ οἰκίας, καὶ πόλιν, καὶ χώραν, βέλτιον οἰκεῖσθαι παρεσκεύασε· οἰκονομικὲς, πολιτικὲς, κοινωνικὲς ἄνδρας δημιουργῦσα. Ἀρετὴ καὶ νόμους ἀρίςες εἰσηγήσατο, καὶ τὰ εἰρήνης κατεβάλετο πανταχῦ σπέρματα· ἐπεὶ καὶ ὑπὸ τῆς ἐναντίας ἕξεως πέφυκε γίνεσθαι τἀναντία· πόλεμος, ἀνομία, κακοπολιτεῖαι, σύγχυσις, δύσπλοιαι, περιτροπαὶ, ἡ ἐν ταῖς ἐπιςήμαις ἀργαλεωτάτη νόσος, πανουργία, ἀφ᾽ ἧς ἀντὶ τεχνῶν κακοτεχνίαι

z) Scribe ἀςόν. Liquet enim ex contextu γνήσιον opponi νόθῳ, ἀςὸν ὀθνείῳ.

a) Gen. XVII, 16.

b) Scribe, δηλῶν, ὅτι.

c) Scribe προσεχέςατα, fcil. *fpecies generi proximas.* Sic fupra de Confuf. ling. p. 352. lin. 16. Tom. III. e. a.

ferens; vnde plurima atque innumera illa sunt effecta. Atque haec hactenus de eo quod vnum tantum se daturum asserat; nunc porro *filium* dixit, non temere atque inconsiderate, verum vt ostendat eum non extraneum, neque suppostititium, neque adoptiuum, neque spurium, sed legitimum atque ingenuum existere: quandoquidem vere ingenuae animae foetus extraneus non est. Nam a partus natura gnatus dictus est, vt Graecis (τέκνον a dictione τόκος,) ad exprimendam illam cognationem naturalem qua coniunguntur nati cum parentibus.

*Benedicam vero,* inquit, *ipsam, eritque in gentes:* nimirum quia non solum virtus generalis in proximas suas species, et indiuidua speciebus subiecta, tanquam in gentes, diuiditur; sed quod vt animalium, sic rerum etiam gentes esse quodammodo, quibus valde conducit virtutem adhaerere. Quae enim vacua et destituta sunt prudentia, damnum afferunt, sicut necessario tenebricosa sunt, quae non illustrantur a Sole. Virtute enim agricola melius stirpium reique rusticae curam gerit; virtute etiam auriga currum in circo inoffensum trahit; virtute item gubernator clauum tenens, nauiculam secunda nauigatione dirigit. Virtus efficit vt domus, vrbes et regiones melius incolantur, dum homines rei familiari et publicae attentos, et societatis amantes reddit. Eadem virtus leges induxit optimas, et vbique pacis semina conieecit; quandoquidem ex habitu contrario nasci et confici solent his quoque contraria: bellum, iniquitas, legum perturbatio, confusio, infelicitates, rerum mutationes, quique in scientiis capitalis morbus est, astutia, ex qua artium loco promanarunt fraudes prauae et inanes. Igitur necessario in suas quasi

d) Melius οἰκονομεῖ. Sic Lib. de legat. ad Caium p. 1013. Vid. Lib. de Conf. ling. p. 366. Tom. III. e. n. (Melius vero etiam mox praecedit. in Editis οἰκονόμιος. P.)

τεχνίαι e) προσεῤῥέθησαν. Ἀναγκαίως ἂν εἰς ἔθνη f) χωρήσει ἡ ἀρετὴ, ζώων ὁμοῦ καὶ πραγμάτων μεγάλα καὶ ἀθρόα συςήματα, ἐπὶ τῇ τῶν δεχομένων ὠφελείᾳ.

Λέγεται δὲ ἑξῆς, ὅτι καὶ βασιλεῖς ἐθνῶν g) ἐξ αὐτῆς ἔσονται· οὓς γὰρ κυοφορεῖ καὶ ἀποτίκτει, πάντες εἰσὶν ἡγεμόνες· οὐ κλήρῳ, πράγματι ἀβεβαίῳ, καὶ χειροτονίᾳ ἐμμίσθων τὰ πολλὰ ἀνθρώπων πρὸς ὀλίγον χρόνον αἱρεθέντες, ἀλλ᾽ ὑπὸ φύσεως εἰσαεὶ καταςαθέντες αὐτῆς. Οὗτος δὲ οὐκ ἐμὸς μῦθος, ἀλλὰ χρησμῶν τῶν ἱερωτάτων ἐςὶν, ἐν οἷς εἰσάγονταί τινες λέγοντες τῷ Ἀβραάμ, h) βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν· οὐ τὰς ὕλας ἐξετάσαντες, (τίνες γὰρ ἦσαν ἀνδρὶ μετανάςῃ καὶ μηδὲ πόλιν οἰκοῦντι, πολλὴν δὲ καὶ ἐρήμην καὶ ἄβατον ἀλωμένῳ γῆν;) ἀλλὰ τὴν ἐν τῇ διανοίᾳ βασιλικὴν ἕξιν κατανοήσαντες, ὡς i) ἀνομολογῆσαι κατὰ Μωσῆν, μόνον τὸν σοφὸν βασιλέα. Καὶ γὰρ ὄντως ὁ μὲν φρόνιμος ἡγεμὼν ἀφρόνων ἐςὶν, εἰδὼς ἃ χρὴ ποιεῖν τε καὶ ἃ μή· ὁ δὲ σώφρων ἀκολάςων, τὰ περὶ τὰς αἱρέσεις καὶ φυγὰς ἠκριβωκὼς οὐκ ἀμελῶς. Δειλῶν δὲ, ὁ ἀνδρεῖος, ἃ δεῖ ὑπομένειν, καὶ ἃ μὴ, σαφῶς ἐκμαθών. Ἀδίκων δὲ, ὁ δίκαιος, ἰσότητος ἐν τοῖς ἀπονεμητέοις ἀῤῥεπῶς ςοχαζόμενος. Ὁ δ᾽ ὅσιος, ἀνοσίων, ἐν k) ἀρίςαις ὑπολήψεσι ταῖς περὶ θεοῦ κατισχημένος.

Ταύταις εἰκὸς ἦν ταῖς ὑποσχέσεσι τὸν νοῦν ἐκφυσηθέντα, μετέωρον ἀρθῆναι· ὁ δὲ, πρὸς ἔλεγχον ἡμῶν, οἳ καὶ ἐπὶ τοῖς μικροτάτοις εἰώθαμεν ὑψαυχενεῖν, l) πίπτει, καὶ εὐθὺς γελᾷ τὸν ψυχῆς γέλωτα· σκυθρωπάζων μὲν τῷ προσώπῳ, μειδῶν δὲ τῇ διανοίᾳ, πολλῆς καὶ

ἀκρα-

e) Forte προσεῤῥύησαν.

f) Scribendum videtur, διεχωρίσθη. vid. supra p. 187. T. I. e. n.

g) Textus biblicus Gen. XVII, 6. ἐξ αὐτοῦ, sc. Isaaco. Sed liquet ex sequentibus Philonem notanter scripsisse ἐξ αὐτῆς.

quasi gentes virtus diuisa est, nempe animantium simul et rerum magnos et confertos conuentus, in eorum qui eam excipiunt vtilitatem.

Dicitur autem mox, *quod reges gentium oriuntur ex ea;* omnes enim quos concipit et parit, principes sunt, non sorte ducti, re instabili, aut suffragio hominum vt plurimum mercede adductorum ad breue tempus electi, sed ab ipsa natura in perpetuum constituti. Haec vero sententia non mea est, sed sanctissimorum oraculorum, in quibus inducuntur quidam Abrahamo dicentes, *Rex a Deo es tu in nobis;* cum non expendissent facultates (nam quae aderant viro extorri ac ne vrbem quidem incolenti, sed per vastam, desertam et inuiam regionem oberranti?) verum cum habitum in mente regium perspexissent: adeo vt secundum Mosem profiterentur, *solum sapientem esse regem.* Etenim reuera prudens princeps est imprudentium, cum nouerit quae agenda sint, quaeque non: temperans item intemperantium, cum non negligenter examinauerit quae ad rerum electionem et fugam spectant. Fortis porro *rector* ignauorum, quia probe nouit quae toleranda sint et quae minime. Iustus etiam iniustorum, aequitatem integram et incorruptam sibi in suo cuique tribuendo proponens. Pius denique impiorum, optimis de Deo sententiis imbutus.

Atqui par fuit mentem eiusmodi pollicitis intumescentem, plus nimio attolli; ea nihilominus, ad correctionem nostrum, qui vel in minimis solemus fastuose ceruicem erigere, *procidit, statimque ridet animi risum,* vultu quidem ad tristitiam composito, ridens autem

B b 2 mente,

h) Gen. XXIII, 6.

j) Forte scribendum συνομολογῆσθαι, et conf. Lib. de Posterit. Cain. p. 318. Tom. II, e. n.

k) Forsan melius [illegible].

l) Gen. XVII, 17.

ἀκράτου χαρᾶς m) εἰδοικισαμένης. Ἀμφότερα δὲ κατὰ τὸν αὐτὸν χρόνον συμβαίνει τῷ μείζονα ἐλπίδος ἀγαθὰ κληρονομοῦντι σοφῷ, γελᾷν τε καὶ πίπτειν· τὸ μὲν, εἰς πίστιν τοῦ μὴ μεγαλαυχεῖν, διὰ κατάγνωσιν τῆς θνητῆς οὐδενείας· τὸ δὲ εἰς εὐσεβείας βεβαίωσιν, διὰ τοῦ n) μόνων χαρίτων καὶ ἀγαθῶν νομίζειν τὸν θεὸν αἴτιον. Πιπτέτω μὲν δὴ καὶ σκυθρωπαζέτω γένεσις, φύσεως· ἀνίδρυτός τε γὰρ καὶ o) ἐπίλυτος ἐξ ἑαυτῆς ἐστιν· ἀνιστάσθω δὲ ὑπὸ θεοῦ, καὶ γελάτω· τὸ γὰρ ἔρεισμα αὐτῆς καὶ ἡ χαρὰ, μόνος οὗτός ἐστιν. Εἰκότως δ' ἂν ἀπορήσειέ τις, πῶς ἐνδέχεται γελᾷν τινα, μή πω γέλωτος εἰς τὴν καθ' p) ἡμέραν γένεσιν ἐλθόντος· ὁ γὰρ Ἰσαὰκ ἐστι γέλως, ὃς κατὰ τὴν παροῦσαν σκέψιν οὔπω γεγέννηται. Ὥσπερ γὰρ οὔτε βλέπειν χωρὶς ὀφθαλμῶν, οὔτ' ἀκούειν χωρὶς ὤτων, οὔτε δίχα μυκτήρων ὀσφραίνεσθαι, οὐδ' αὖ ταῖς ἄλλαις αἰσθήσεσιν ἄνευ τῶν κατ' αὐτὰς ὀργάνων χρῆσθαι, οὔτε καταλαμβάνειν δίχα λογισμοῦ· οὕτως οὐδὲ γελᾷν εἰκὸς ἦν, εἰ μὴ γέλως ἐδεδημιούργητο. Τί οὖν χρὴ λέγειν; πολλὰ ἡ φύσις τῶν μελλόντων γίνεσθαι, διά τινων συμβόλων προμηνύει. Ἢ τὸν νεοττὸν οὐχ ὁρᾷς, ὃς πρὶν ἀέρι ἐπινήχεσθαι, q) πτερύσσεσθαι καὶ τοὺς ταρσοὺς διασείειν φιλεῖ, τὴν ἐλπίδα τοῦ πέτεσθαι δυνήσεσθαι προευαγγελιζόμενος; Ἀμνὸν δ' ἢ χίμαρον ἢ βοῦν ἔτι νεογνὸν οὐκ εἶδες, μήπω τῶν κεράτων ἐκπεφυκότων, ὁπότε διερεθίζει τις, ἀντιβεβηκότα καὶ τοῖς μέρεσιν ἐκείνοις ὁρμῶντα πρὸς ἄμυναν, ἐξ ὧν ἡ φύσις τὰ ἀμυντήρια ὅπλα ἀναδίδωσιν; Ἔν γε μὴν ταῖς θηριομαχίαις, οὐκ εὐθὺς οἱ ταῦροι τοὺς ἀντιτεταγμένους ἀναπείρουσι· ἀλλ' εὖ μάλα διαβάντες, καὶ μετρίως τὸν αὐχένα χαλάσαντες καὶ θάτερον ἐκκλίναντες, καὶ ταυρωπὸν ὄντως ἀποβλεψάμενοι, τηνικαῦτα ἐπίασιν, r) ἔργου ἐξόμενοι. Τὸ δὲ γινόμενον, s) ἔρυσιν ἐκάλε-

m) Quidni εἰσοικισμένης vel εἰσοικησαμένης?

n) Melius, vt videtur, μόνον.

o) Quidni ἐπίλυπος, vt infra p. 392. lin. 24. ed. n.

p) Scribe ἡμᾶς.

mente, cum magna valdeque pura intus habitaret laetitia. Porro vtrumque eodem tempore contingit sapienti potiora spe bona consecuto, ridere atque procidere; atque hoc quidem, vt fidem faciat se non efferri nec insolescere, ex inanitatis mortalis conscientia: illud autem, ad pietatis confirmationem, eo quod solum Deum gratiarum et bonorum autorem censeat. Sane vero cadat res creata, et moestitiam prae se ferat, idque recte: quandoquidem instabilis et solubilis ex seipsa est; erigatur autem a Deo, et rideat: hic enim solus firmamentum et gaudium ipsius est. Iure tamen quis addubitet, qui vsu veniat tum ridere quempiam, cum nondum risus inter mortales sit natus; est enim risus iste Isaac, qui nondum natus est secundum praesens argumentum. Quemadmodum videre nemo potest sine oculis, neque audire absque auribus, neque absque naribus odorari, neque etiam aliis sensibus vti sine organorum propriorum ministerio, nec denique sine ratione percipere: sic neque ridere quemquam probabile erat, nisi iam risus in lucem esset editus. Quid vero dicere par est? pleraque eorum quae futura sunt; natura signis quibusdam praenunciat. Annon auiculam vides, quae prius quam per aerem se fundat, alas concutere pedibusque exsilire solet, ita spem quam habet se mox volare posse, praedicendo? Numquid agnum, aut hoedum, aut bouem adhuc tenerum vidisti, cui nondum enata sint cornua? si forte irritetur a quopiam, ire contra, illis partibus irruentem ad vindictam, vnde ipsi natura arma, quibus defendat et vlciscatur se, suppeditat. Quin et in ferarum certaminibus, non statim tauri sibi oppositos perforant, sed glomerato gressu procedentes, et ceruicem mediocriter inflectentes, altero cor-



q) Codd. nonnulli πτερυγύεσθαι, sed nil mutandum. Ita noster Lib. de praemiis p. 920.

r) Sic MS. Coll. Nou. Editi ἔργον.

s) Melius forte ὄρεσιν. Hes. v. ὀρέσειν, ὁρμᾶν. vid. Stob. Eclog. Eth. Lib. II. p. 175.

ἐκάλεσαν, οἷς ὀνοματοποιεῖν ἔθος, ὁρμήν τινα t) πρὸ ὁρμῆς ὑπάρχουσαν. Ὅμοιον δή τι καὶ ἡ ψυχὴ τὰ πολλὰ πάσχει· ἐλπιζομένου γὰρ τἀγαθοῦ, προγηθεῖ, ὡς τρόπον τινὰ χαίρειν πρὸ χαρᾶς, καὶ εὐφραίνεσθαι πρὸ εὐφροσύνης. Εἰκάσαι δ' ἄν τις αὐτὸ καὶ περὶ τὰ φυτὰ συμβαίνοντι· καὶ γὰρ αὐτὰ, ὁπότε μέλλοι καρποφορεῖν, προβλαστάνει καὶ προανθεῖ καὶ χλοηφορεῖ. Τὴν ἡμερίδα ἄμπελον ἴδε, ὡς ὑπὸ φύσεως τεθαυματούργηται, κληματίσιν, ἕλιξι, μοσχεύμασι, πετάλοις οἰναροῖς, ἃ φωνὴν οὐκ ἀφιέντα, μηνύει τὴν ἐπὶ τῷ μέλλοντι καρπῷ τοῦ δένδρου χαράν. Καὶ ἡ ἡμέρα μέντοι προγελᾷ πρὸς βαθὺν ὄρθρον, μέλλοντος ἀνίσχειν ἡλίου. Αὐγὴ γὰρ αὐγῆς ἄγγελος, καὶ φῶς φωτὸς, ἀμυδρότερον τηλαυγεστέρου, προεξέρχεται. Ἥκοντι μὲν οὖν ἤδη τῷ ἀγαθῷ συνομαρτεῖ χαρὰ, προσδοκωμένῳ δὲ ἐλπίς· ἀφικομένῳ μὲν χαίρομεν, μέλλοντι δὲ u) ἐλπίζομεν· καθάπερ καὶ ἐπὶ τῶν ἐναντίων ἔχειν συμβέβηκεν. Ἡ μὲν γὰρ παρουσία τοῦ κακοῦ λύπην, ἡ δὲ προσδοκία φόβον ἐγέννησεν. Φόβος δὲ ἄρα ἦν οὐδὲν, ἢ λύπη πρὸ λύπης, ὥσπερ ἐλπὶς χαρὰ πρὸ χαρᾶς· ὃ γὰρ, οἶμαι, πρὸς λύπην φόβος, τοῦτο πρὸς χαρὰν ἐλπίς. Σημεῖα δὲ τοῦ λεγομένου καὶ αἰσθήσεις ἐναργῆ περιφέρουσι· γεύσεως γὰρ ὄσφρησις προκαθημένη, τὰ πρὸς ἐδωδὴν καὶ πόσιν σχεδὸν ἅπαντα προδικάζει· ἀφ' οὗ καὶ προγευστρίδα αὐτὴν, ὡς τὴν ἐνέργειαν ἀπιδόντες ἐκάλεσαν εὐθυβόλως ἔνιοι. Πέφυκε δὲ καὶ ἡ ἐλπὶς ὡσανεὶ τοῦ μέλλοντος ἀγαθοῦ προγεύεσθαι, καὶ διασυνιστάνειν αὐτὸ ψυχῇ τῇ βεβαίως κτησομένῃ. Κἂν ταῖς ὁδοιπορίαις μέντοι πεινήσας τις καὶ διψήσας, πηγὰς ἐξαίφνης ἰδὼν, ἢ δένδρα παντοίοις ἡμέροις βρίθοντα καρποῖς· μήπω φαγὼν ἢ πιὼν, ἀλλὰ μηδ' x) ἱδρυσάμενος ἢ δρεψάμενος, ἐλπίδι τῆς ἀπολαύσεως προπληροῦται. Εἶτ' οἰόμεθα ταῖς μὲν σώματος τροφαῖς καὶ πρὸ τῆς χρήσεως y) αἰτιᾶσθαι δύνασθαι, τὰς δὲ τῆς διανοίας

t) Sic MSS. Editi πρός. (Mox ex Editis retinui ὑπάρχουσαν, cuius loco Mangeius: ὑπέρχουσαν. P.)

u) Melius ἐπελπίζομεν.

nu inclinato, ac taurinum vere intuitum prae ſe ferentes, tum demum inuadunt, operi ſuo adhaerentes. Cuiusmodi praeludium Graeci nouorum vocabulorum fictores ἔρυσιν appellarunt, quaſi impetum quendam impetu priorem. Simile porro quiddam animus plerumque patitur: nam ob ſperatum bonum gaudium praecipit, vt laetitia quodammodo laetitiam antegrediatur, et delectatio hilaritatem praecurrat. Simile quiddam etiam ſtirpibus accidere ſolet; iſtae enim, cum fructus producere parant, prius pullulant, et flores ac germina proferunt. Vitem excultam aſpice, vt mirifice ſit a natura ornata, ſarmentis, adminiculis, propaginibus et pampinis vinoſis, quae tametſi vocem nullam edant, arboris tamen laetitiam ob fructum aduenientem indicant. Quinetiam dies ipſe praearridet diluculo, antequam ſol oriatur: ſplendor enim ſplendorem praenunciat, et lux obſcurior lumen clarius anteuertit. Itaque bono iam venienti comes adeſt laetitia, expectato vero ſpes: ſiquidem laetamur cum aduenit, ſperamus autem cum inſtat: ſicut in contrariis etiam contingere ſolet. Etenim mali praeſentia dolorem, expectatio vero metum gignit. Metus ergo nihil aliud erat quam triſtitia ante triſtitiam, vt ſpes gaudium ante gaudium: quam enim, opinor, rationem habet metus ad dolorem, eandem ſpes ad gaudium. Argumenta porro manifeſta eius quod dicitur, ſenſus exhibent. Nam odoratus guſtui praepoſitus, eſculenta et poculenta ferme praeiudicat omnia: vnde praeguſtatorem ſenſus recte quidam nominauere, cum ipſius effectum animaduertiſſent. Solet etiam ſpes futurum bonum quaſi praeguſtare, idque animae commendare, quae id erat firmiter poſſeſſura. Proinde cum quis in itinere conficiendo, fame vel ſiti correptus eſt, ſi repente fontes viderit aut arbores omnis generis mitibus onuſtas fructibus, tametſi nondum come-

 derit

x) In margine Editorum ſcribitur ὑδρευσάμενος, forte ἀρυσάμενος.

y) Omnino ſcribe cum Hoeſchelio in margine ἐπιᾶσθαι.

διανοίας οὐχ ἱκανὰς εἶναι καὶ ὁπότε μέλλοιεν ἑστιᾶν, προευφραίνειν;

Ἐγέλασεν οὖν εἰκότως, μήπω δοκοῦντος ἐν τῷ θνητῷ γένει σπαρῆναι τοῦ γέλωτος· καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ἡ γυνὴ γελᾷ. Λέγεται γὰρ αὖθις, ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ λέγουσα· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν ἄνευ μελέτης ἀπαυτοματίζον ἀγαθόν· ὁ δ' ὑποσχόμενος, κύριός μου καὶ πρεσβύτερος πάσης γενέσεώς ἐστιν, ᾧ πιστεύειν ἀναγκαῖον. Ἅμα μέντοι καὶ ἀναδιδάσκει, ὅτι ἥτ' ἀρετὴ χαρτόν ἐστι φύσει, καὶ ὁ ἔχων αὐτὴν ἀεὶ γέγηθε· καὶ τοὐναντίον, ὅτι ἥτε κακία λυπηρὸν, καὶ ὁ ἔχων z) ὀδυνηρότατος. Ἔτι νῦν θαυμάζομεν τῶν φιλοσόφων τοὺς λέγοντας, τὴν ἀρετὴν ἀπάθειαν εἶναι, ἰδοὺ γὰρ Μωσῆς χορηγὸς ἀνεύρηται τοῦ σοφοῦ a) τούτου δόγματος, χαίροντα καὶ γελῶντα παραγαγὼν τὸν ἀστεῖον· ἀλλαχόθι δὲ, οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς εἰς ταὐτὸν ἀφικνουμένους αὐτῷ. b) Ἰδὼν γάρ σε, φησι, χαρήσεται ἐν αὐτῷ· ὡς τῆς τοῦ σπουδαίου προσόψεως αὐτὸ μόνον ἱκανῆς οὔσης ἀναπληρῶσαι τὴν διάνοιαν εὐφροσύνης, ἀποφορτισαμένης τὸ ἀπεχθέστατον ψυχῆς κακῶν, λύπην. Φαύλῳ δ' οὐδενὶ χαίρειν ἐφεῖται, καθάπερ καὶ ἐν προφητικαῖς ᾄδεται ῥήσεσι· c) χαίρειν οὐκ ἔστι τοῖς ἀσεβέσιν, εἶπε θεός. d) Λόγος γὰρ ὄντως καὶ χρησμὸς ἐστι θεῖος, σκυθρωπὸν καὶ ἐπίλυπον καὶ μεστὸν βαρυδαιμονίας εἶναι τὸν παντὸς μοχθηροῦ βίον, κἂν προσποιῆται τῷ προσώπῳ μειδιᾶν. Οὐ γὰρ τοὺς Αἰγυπτίους χαίρειν ἂν εἴποιμι πρὸς ἀλήθειαν, ἡνίκα τοὺς ἀδελφοὺς Ἰωσὴφ ἥκοντας ἤκουσαν· ἀλλ' e) ὑπομορφάζειν, καθυπο-

κρινο-

z) Forsan, ἀνιαρώτατος. Τί δὲ νῦν, &c.

a) Sic MSS. Coisl. et Trin. pro τοῦ.

b) Exod. IV, 14.

c) Esai. XLVIII, 22.

derit nec biberit, ac ne hauserit quidem, decerpseritue, spe tamen ipsa fruitionis ante impletur. Deinde censebimusne nos corporis quidem alimentis ante vsum pasci posse, mentis vero cibos idoneos non esse ad nos exhilarandos, cum epulas nobis apparant?

Risit igitur satis probabiliter, licet nondum satus videretur in mortali genere risus: nec ipse tantum, verum etiam mulier ridet. Mox enim dicitur; *Risit autem Sarra in semetipsa*, aiens: nondum vltro suapteque sponte se mihi bonum obtulit, sine meditatione et labore, ad hanc vsque diem: sed is qui pollicetur, Dominus meus est et antiquior omni re creata, cui fidem necesse est adhibere. Quinetiam simul edocet virtutem natura hilarem esse eaque praeditum semper gaudere: e contrario molestam prauitatem esse, eaque contaminatum summis doloribus et molestiis affici. Igitur etiamnum philosophos admiramur, qui virtutem asserunt affectuum priuationem esse? en Moses sapientis huius decreti autor reperitur, dum virum probum laetantem ac ridentem inducit; itemque alio loco non ipsum tantum, sed eos etiam qui eodem quo ipse perueniunt. *Nam cum te viderit,* inquit, *laetabitur in se ipso;* quasi solus viri probi aspectus abunde sufficiat ad implendam laetitia mentem, amota moestitia quae animi malorum molestissimum est. Sed improbo nemini gaudere permittitur, vt in propheticis canitur sententiis: *Laetari non est fas impiis, inquit Deus.* Est enim reuera effatum et oraculum diuinum, praui cuiusque vitam moestam tristitiaeque et miseriae plenam esse, tametsi vultu se ridere simulet. Enimuero Aegyptios vere gauisos esse non ausim dicere, cum Iosephi fratres accedere audirent, verum ita vultum compo-

 suisse

d) Quidni νόμος?

e) Saepius a Philone vsurpatur vox ἐπιμορφάζειν. (e. g. Quod det. insid. pot. p. 162. Tom. II. ed. n. P.) Adeoque ita hic scribe.

αἰρουμένους τὸ δοκεῖν. Οὐδενὶ γὰρ ἐπιστὰς ἔλεγχος ἀφρόνων δι' ἡδονῆς ἐστιν, ὥσπερ οὐδ' ἰατρὸς ἀκρατεῖ νοσοῦντι. Πόνος μὲν γὰρ τοῖς συμφέρουσι, ῥαστώνη δὲ τοῖς βλαβεροῖς ἕπεται· πόνου δὲ ῥαστώνην προκρίναντες, εἰκότως τοῖς τὰ συμφέροντα ἀπεχθάνονται εἰσηγουμένοις. Ἐπειδὰν οὖν ἀκούσῃς, f) ὅτι ἐχάρη Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ διὰ τὴν τῶν ἀδελφῶν Ἰωσὴφ ἄφιξιν· μὴ νόμιζε πρὸς ἀλήθειαν ἥδεσθαι, εἰ μὴ κατ' ἐκεῖνο ἴσως, ὅτι προσδοκῶσιν αὐτὸν μεταβαλεῖν ἀπὸ τῶν ψυχῆς ἀγαθῶν οἷς g) συνεστράφη, πρὸς τὰς τοῦ σώματος ἀνηνύτους ἐπιθυμίας, τὸ ἀρχαῖον καὶ προγονικὸν ἀρετῆς συγγενοῦς νόμισμα παρακόψαντα. Τοιαῦτα δ' ἐλπίσας ὁ φιλήδονος νοῦς, αὐτάρκης οὐχ ὑπολαμβάνει τοὺς νεωτέρους, καὶ ἄρτι πρὸς τὰ σωφροσύνης γυμνάσια φοιτῶντας ἐπιθυμιῶν δελέασιν ἀγκιστρεύσασθαι· ἀλλὰ δεινὸν ἐνόμισεν εἶναι, εἰ μὴ καὶ τὸν πρεσβύτερον ὑπάξεται λόγον, ὃ τὰ λυττῶντα πάθη h) παρήβασκε. Λέγει γὰρ αὖ, τὰς ζημίας ὡς ὠφελείας προτείνων, i) παραλαβόντες τὸν πατέρα, καὶ τὰ ὑπάρχοντα ὑμῶν, ἥκετε πρὸς μὲ, ἐπ' Αἰγύπτου καὶ τοῦ φοβεροῦ τούτου βασιλέως, ὃς καὶ τὰ πατρῷα k) ἡμῶν καὶ τὰ ὄντως ὑπάρχοντα ἀγαθὰ ἔξω προεληλυθότα τοῦ σώματος (φύσει γάρ ἐστιν ἐλεύθερα) ἀντισπᾷ, βιαζόμενος δεσμωτηρίῳ πάνυ παρῷ παραδοῦναι καταστήσας εἱρκτοφύλακα, ὥς φησι τὸ λόγιον, Πετεφρῆ τὸν σπάδοντα καὶ ἀρχιμάγειρον, σπάνει κεχρημένον τῶν καλῶν, καὶ τὰ γεννητικὰ τῆς ψυχῆς ἐκτετμημένον, ἔτι δὲ σπείρειν καὶ φυτεύειν τι τῶν κατὰ παιδείαν ἀδυνατοῦντα, μαγείρου τρόπον κτείνοντα τὰ ζῶντα, καὶ κατὰ μέρη καὶ l) κατὰ μέλη κόπτοντα καὶ διαιροῦντα, καὶ ἐν ἀψύχοις καὶ νεκροῖς m) καλινδούμενον οὐ σώμασι μᾶλλον ἢ πράγμασιν, καὶ ταῖς περιέργοις παραρτύ-

f) Gen. XLV, 16.

g) Melius συνανεστράφη.

h) MSS. παρήβηκε.

i) Gen. XLV, 18.

fuiſſe vt laeti viderentur. Nulli enim ſtulto redargutor iam inſtans, voluptati eſt, vt nec medicus intemperanti aegroto iucundus eſt. Etenim labor ea ſequitur quae ſunt vtilia, mollities vero noxia comitatur, qui ergo ignauiam labori praeferunt, merito ſuccenſent iis qui vtilia ſuggerunt. Itaque cum audis *Pharaonem cum familia ſua laetatum fuiſſe ob aduentum fratrum Ioſephi*, ne putes eos vere gauiſos fuiſſe: niſi ob eam fortaſſe cauſam, quod ſperarent Ioſephum ab animae bonis cum quibus conuerſatus fuerat, ad inanes corporis libidines conuerſum, et antiquum atque auitum virtutis ingenitae numiſma adulteraturum. Hac ſpe adducta mens voluptatum amans non ſatis eſſe exiſtimat, ſi iuniores et iam temperantiae ſcholas frequentantes cupiditatum illecebris ineſcet: ſed graue etiam ac moleſtum ducit, ſi natu maiorem non ſubigat rationem, cuius furentes affectus olim conſenuerant. Ait enim rurſus, damna ceu commoda proponens, *Aſſumpto patre veſtro et omnibus veſtris facultatibus accedite ad me*, de Aegypto et formidando illo rege, qui et paterna noſtra et reapſe bona, extra corpus progreſſa, (ſunt enim natura libera) retro trahit, vi conatus ea in carcerem dare: *cuſtode conſtituto*, vt aſſerit oraculum, *Pentephre ſpadone et coquorum principe*, bonorum penuria laborante, et animi partes ad generandum aptas, exciſas habente nec vero amplius ſerere quid et plantare eorum quae ad doctrinam ſpectant valente: ſed qui coqui more animantes caedit atque in fruſta ſecat, et in mortuis atque inanimis non corporibus magis quam rebus occupatur: et ſuperfluis condimentis excitat atque irritat vanorum affectuum appetitus, quos par erat cicurando demulcere.

k) Ἡμῶν reſtitui ex MSS. Ibid. MS. Trin. περιεληλυθότα, ſed non diffitendum eſt, hunc locum eſſe mendoſum, et forte mutilum.

l) Κατὰ redundat, vt opinor.

m) Scribe κυλινδούμενον.

ραςτύσεσιν ἀνεγείροντα καὶ ἀνερεθίζοντα τὰς τῶν ἀνηνύτων παθῶν ὁρμάς, ἀς εἰκὸς ἦν n) τιθασσεύοντας πρεῦναι. Ὁ δὲ, καὶ δώσω, φησὶν, ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε o) τῶν μυελῶν γῆς. Ἀλλ᾽ ἐσμὲν αὐτῷ σώματος ἀγαθὸν οὐ προσιέμεθα, οἱ τὰ ψυχῆς ἰδόντες· ἱκανὸς γὰρ ὁ τριπόθητος ἐκείνων ἵμερος ἐντακεὶς, πάντων ὅσα τῇ σαρκὶ φίλα, λήθην ἐργάσασθαι.

Τοιαύτη μέν τις ἡ ψευδώνυμος χαρὰ τῶν ἀφρόνων ἡ δὲ ἀληθὴς, πρότερον εἴρηται, μόνοις ἀστείοις ἐφαρμόζουσα. p) Πεσὼν οὖν, ἐγέλασεν· οὐκ ἀπὸ θεοῦ πεσὼν, ἀλλ᾽ ἀφ᾽ ἑαυτοῦ· ἔστη μὲν γὰρ περὶ τὸν ἄτρεπτον, ἔπεσε δὲ ἀπὸ τῆς ἰδίας οἰήσεως· διὸ καὶ τοῦ q) μὲν δοκησισόφου καταβληθέντος φρονήματος, ἀνεγερθέντος δὲ τοῦ φιλοθέου, καὶ περὶ τὸν ἀκλινῆ μόνον ἱδρυνθέντος, γελάσας εὐθὺς, εἶπε τῇ διανοίᾳ· εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ ἡ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται; Μή τοι νομίσῃς, ὦ γενναῖε, τὸ r) εἰπεῖν οὐχὶ τῷ σώματι, ἀλλὰ τῇ διανοίᾳ προσκεῖσθαι παρέργως, ἀλλὰ καὶ πάνυ ἐξητασμένως. Διὰ τί; ὅτι ἔοικε διὰ τοῦ φάσκειν, εἰ τῷ ἑκατονταετεῖ γενήσεται, περὶ τῆς Ἰσαὰκ ἐνδοιάζειν γενέσεως, ἐφ᾽ ᾗ πρότερον ἐλέγετο πιστεῦσαι, ὡς ἐδήλου τὸ χρησθὲν πρὸ μικροῦ τόδε· s) οὐ κληρονομήσει σε οὗτος, ἀλλ᾽ ὃς ἐξελεύσεται ἐκ σοῦ. Εἶτ᾽ εὐθὺς εἶπεν· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Ἐπειδὴ τοίνυν ἀκόλουθον οὐκ ἦν ἐνδοιάσαι τῷ πεπιστευκότι πεποίηκε τὸν ἐνδοιασμὸν οὐ πολυχρόνιον, μηκυνόμενον μέχρι γλώττης καὶ στόματος, ἀλλ᾽ αὐτοῦ περὶ τὴν ὀξυκίνητον διάνοιαν ἱστάμενον. Τῇ γὰρ διανοίᾳ, φησὶν, εἶπεν, ἣν τῶν εἰς ποδώκειαν ἐπαινουμένων οὐδὲν ἂν ἰσχύσαι παραδραμεῖν· ἐπεὶ καὶ τὰς πτηνὰς φύσεις ἁπάσας ἔφθακεν. Ἀφ᾽ οὗ μοι δοκεῖ καὶ τῶν παρ᾽ Ἕλλησι ποιητῶν ὁ δοκιμώτατος,

Ὡσεὶ

n) Scribe τιθασσεύοντα, vt fupra, ἀνερεθίζοντα.

o) Melius forfan τὸν μυελὸν, fic Gen. XLV, 18.

p) Gen. XVII, 17.

re. Addit autem Pharao, *Largiar vobis ex omnibus Aegypti bonis, et e pinguedine terrae comedetis.* Verum dicemus ei: Nos qui animi bona vidimus, corporis bona non admittimus; nam suauissimum illorum desiderium infusum, satis habet virium ad obliuionem carnis deliciarum inducendam.

Talis certe quaedam est falsa et inanis stultorum laetitia, vera autem prius exposita est, quae solis congruit probis. Quare *postquam cecidisset, risit:* non, cum a Deo excidisset, sed cum a semetipso; stetit enim iuxta *Deum* immutabilem, atqui de propria existimatione cecidit; quocirca ingenio arrogante deturbato, et pia Deoque grata sententia excitata, et circa immotum tantum stabilita, cum risisset, mente dixit illico: *An centenario nascetur, et Sarra nonagenaria pariet?* Ne ergo censeas (vir ingenue) istud, *Dixit* (non ore, sed) *mente*, adiecta fuisse frustra, sed potius valde considerate. Qua de causa? quia videtur dum proferret haec, *An centenario nascetur*, de ortu Isaaci ambigere, propter quem tamen antea *Deo* credidisse dicebatur, vt indicauit istud oraculum paulo ante editum: *Non erit hic heres tuus, sed is, qui egredietur ex te.* Deinde mox subiunxit, *Credidit Abraham Deo, et reputatum est ipsi ad iustitiam.* Quoniam igitur consentaneum non erat, eum qui crediderat, ambigere: non diuturnam exhibet dubitationem, ore et lingua tenus prodeuntem, sed ibi, in celeri motu praedita mente insistentem. *Dixit* enim, inquit, *mente*, quam quidem nihil eorum quae ob velocitatem commendantur, anteuertere valet, cum volucres naturas vniuersas anteuertat. Vnde mihi videtur celeberrimus poetarum Graecorum dixisse:

*Tan-*

q) Μὲν addidi ex MS. Coll. Nou.

r) Scribe εἶπεν, vt liquet ex contextu.

s) Gen. XV, 4. et 6.

Ὡσεὶ πτερὸν t) ἠὲ νόημα,

φάναι· δηλῶν τὸ τῆς ὀξύτητος τάχος, κατ᾽ ἐπίτασιν ὕστερον τοῦ πτεροῦ τὸ νόημα θείς. Ἐπὶ πολλὰ γὰρ ἡ διάνοια ἐν ταὐτῷ u) πράγματα ὁμοῦ καὶ σώματα στείχει μετὰ ἀλέκτου φορᾶς, καὶ ἐπὶ τὰ γῆς καὶ θαλάττης αὐτίκα πέρατα φθάνει, συναιροῦσα καὶ τέμνουσα τὰ ἄπειρα μεγέθη διὰ x) στόματος· κατὰ δὲ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπὸ γῆς ἀναπηδᾷ, ὡς δι᾽ ἀέρος εἰς αἰθέρα ἀνέρχεσθαι, καὶ μόλις περὶ τὴν ἐσχάτην τῶν ἀπλανῶν ἀψῖδα ἵστασθαι. Τὸ γὰρ ἔνθερμον καὶ διάπυρον, ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ· διὸ πολλὰ y) ὑπερβάλλουσα, καὶ τοῦ παντὸς αἰσθητοῦ τούτου ὅρου ἔξω φέρεται πρὸς τὸν ἐκ τῶν ἰδεῶν παγέντα, z) συγγενικῶς. Γέγονεν οὖν περὶ τὸν ἀστεῖον ἡ τροπὴ βραχεῖα, ἄτομος, a) ἀμερὴς, οὐκ αἰσθητὴ, νοητὴ δὲ μόνον, τρόπον τινὰ ἄχρονος. Ἀλλ᾽ ἴσως ἄν τις εἴποι· τί οὖν γε, b) ὅτι πεπιστευκὼς, ἴχνος, ἢ σκιὰν, ἢ c) αὔραν ἀπιστίας δέχεται τὸ παράπαν; οὗτος δ᾽ οὐδὲν ἕτερόν μοι βούλεσθαι δοκεῖ, ἢ τὸν γενόμενον ἀποφαίνειν ἀγέννητον, καὶ τὸν θνητὸν ἀθάνατον, καὶ τὸν φθαρτὸν ἄφθαρτον, καὶ τὸν ἄνθρωπον (εἰ θέμις εἰπεῖν) θεόν. Τὴν γὰρ πίστιν ἧς ἔλαχεν ἄνθρωπος, οὕτω βέβαιόν d) φησι δεῖν εἶναι, ὡς μηδὲν διαφέρειν τῆς περὶ τὸ ὂν τῆς ἀρτίου καὶ περὶ πάντα πλήρους. Λέγει γὰρ Μωσῆς ἐν ᾠδῇ τῇ μείζονι, θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία e) ἐν αὐτῷ. Πολλὴ δὲ f) ἄγνοια νομίζειν, τὰς θεοῦ ἀρετὰς τὰς ἀῤῥεπεῖς καὶ παγιωτάτας, χωρῆσαι ψυχὴν ἀνθρώπου δύνασθαι· ἀγαπητὸν γὰρ εἰκόνας g) αὐτῶν κτήσασθαι δυνηθῆναι, πολλοῖς καὶ μεγάλοις ἀριθμοῖς τῶν ἀρχετύπων ἐλαττουμένας.

t) Sic MS. Coll. Nou. ficut et Hom. Odyff. H. Editi ἤ.

u) Ita MSS. Coll. Nou. et Trin. Editi πράγματι — σώματι. Ibid. pro συναιροῦσα, melius fcribitur συνδιαιροῦσα.

x) Melius νοήματος. Vid. lin. 15. feq. Ni reponatur ἀπειρομεγέθη διαστήματα.

y) Forte ὑπερβαίνουσα.

z) Forfan συγγενικῶν, fc. ἰδεῶν.

*Tanquam auis, aut cogitatio:*
magnam in eo celeritatem declarans, quod rem exaggerans, post alitem ſubiecit cogitationem. Etenim mens eodem tempore ad plurimas res et corpora progreditur incredibili pernicitate, et ad ipſos terrae marisque fines ſtatim peruenit, immenſa locorum ſpatia cogitatione concidens et diuidens: eodem momento tantum ſupra terram eminens, vt per aerem ad aethera perueniat, atque aegre ſe contineat in extremo ſiderum fixorum orbe. Feruens enim et igneus vigor in ipſa, eam non ſinit quieſcere; quare multa exſuperans, et longe hos totius naturae ſub ſenſum cadentis limites tranſcendens, ad mundum ex ideis concretum cognationis iure contendit. Quapropter in probo contigit exigua mutatio, indiuiſibilis, non in partes ſecanda, non ſenſu ſed tantum mente percepta, temporisque quodammodo expers. Dicet vero fortaſſe aliquis: an igitur qui ſemel quid credidit, num veſtigium vel vmbram vel auram diffidentiae prorſus admittere poteſt? Is autem aliud nihil mihi velle videtur, quam natum aſſeuerare ortus expertem eſſe, mortalemque eſſe immortalem et caducum ſempiternum, hominemque ipſum, ſi ita loqui fas eſt, Deum. Etenim fidem quam nactus eſt homo, adeo firmam aſſerit eſſe oportere, vt nihil diſcrepet ab ea, quae habetur de eo quod reapſe eſt, quaeque perfecta omnique ex parte abſoluta eſt. Ait quippe Moſes in cantico maiore: *Fidelis Deus, neque vlla eſt iniquitas in eo.* Magna autem inſcitia eſt cenſere humanum animum

a) Scribe ἀκαρής.
b) Scribe ὅ, τι, vel ὅ ποτε.
c) Forte αὔραν. Sic infra p. 1078. ed. Par.
d) Omnino φασι.
e) Ἐν αὐτῷ non legitur in hodiernis Editis textus biblici, Deutr. XXXII, 4.
f) Forſan ἄνοια.
g) Ita MSS. pro αὐτόν.

μένας. Καὶ μήποτ' εἰκότως; ἀκράτους μὲν γὰρ ἀναγκαῖον εἶναι τὰς θεοῦ ἀρετάς· ἐπειδὴ καὶ ὁ θεὸς οὐ σύγκριμα, φύσις ὢν ἁπλῆ· κεκραμένας δὲ τὰς τῶν ἀνθρώπων· ἐπειδὴ καὶ ἡμεῖς γεγόναμεν κράματα, θείου καὶ θνητοῦ συγκερασθέντων, καὶ κατὰ τοὺς τῆς τελείας μουσικῆς λόγους ἁρμοσθέντων. Τὸ δ' ἐκ πλειόνων συνεστὼς, φυσικὰς πρὸς ἕκαστον τῶν μερῶν ἀνθολκὰς ἔχει. Εὐδαίμων δ', ὅτῳ ἐξεγένετο τὸν πλείω τοῦ βίου χρόνον πρὸς τὴν ἀμείνω καὶ θειοτέραν μοῖραν ταλαντεύειν· ἅπαντα γὰρ τὸν αἰῶνα, ἀμήχανον· ἐπεὶ καὶ τὸ ἀντίπαλον θνητὸν ἄχθος ἐστὶν ὅτε ἀντέρρεψε, καὶ ἐφεδρεῦσαν ἐκαιροφυλάκησε τὰς ἀκαιρίας τοῦ λογισμοῦ, ὡς ἀντιβιάσασθαι.

h) Πεπίστευκεν οὖν Ἀβραὰμ τῷ θεῷ, ἀλλ' ὡς ἄνθρωπος πεπίστευκεν· ἵνα τὸ ἴδιον τοῦ θνητοῦ γνῷς, καὶ μάθῃς οὐκ ἄλλως αὐτῷ γενέσθαι εἰ μὴ ἐκ φύσεως, τὴν τροπήν· ἀλλ' εἰ βραχεῖα καὶ i) ἄχαρις γέγονεν, ἄξιον εὐχαριστεῖν· πολλοὶ γὰρ ἕτεροι τῇ ῥύμῃ καὶ φορᾷ κατακλυσθέντες καὶ τῇ βίᾳ, εἰσάπαν ἠφανίσθησαν. Οὐκ ἔστι γὰρ, ὦ γενναῖε, κατὰ τὸν ἱερώτατον Μωσῆν, ἀρτίπους ἡ ἐν θνητῷ σώματι ἀρετή, ἀλλὰ παραπλήσιόν τι πάσχουσα νάρκῃ, μικρὸν ὅσον ὑποχωλαίνουσα. k) Ἐνάρκησε γάρ, φησι, τὸ πλάτος τοῦ μηροῦ, ᾧ καὶ ἐπέσκαζεν. Ἴσως δ' ἂν τῶν εὐθαρσεστέρων εἴποι τις παρελθὼν, ὅτι οὐδὲ ἀπιστοῦντός ἐστιν ἡ προφορά, ἀλλ' εὐχομένου· ἵν' εἰ μέλλοι τῶν εὐπαθειῶν ἡ ἀρίστη γεννᾶσθαι χαρά, μὴ ἑτέροις ἀριθμοῖς μᾶλλον ἢ τοῖς l) ἐννενηκονταέταις

h) Gen. XV, 6.

i) Hoeschelius in margine scribit, ἀκαρής. Melius vero ἄχρονος.

k) Gen. XXXII, 25.

l) Ita quoque MSS. videtur vero reponi debere ἑκατονταέταις. Centenarius enim numerus, secundum Philonem,

himum Dei virtutes inflexas et firmiſſimas poſſe comprehendere; contenta eſſe debet, ſi earum imagines multis magnisque numeris inferiores exemplaribus, aſſequi valeat. Neque id iniuria: ſiquidem Dei virtutes non mixtas eſſe neceſſe eſt, (quoniam Deus nihil concreti eſt, cum natura ſit ſimplex) hominum vero mixtas; ſiquidem et nos ſumus mixturae, diuina et humana natura contemperatis, et ſecundum perfectae muſicae rationes coaptatis. Quod autem ex pluribus eſt confectum, naturales ad vnamquamque partium recurſus ac reflexiones habet. Is vero demum beatus eſt, cui integrum fuit longiore vitae tempore ad meliorem ac diuiniorem partem propendere; neque enim omni tempore id fieri poteſt: quoniam pondus mortale oppoſitum aliquando praeponderat, et imminens menti, eius intempeſtiua tempora acurate obſeruat, ita vt retro trahat.

Quocirca Abrahamus *Deo fidem habuit*, ſed tanquam homo credidit, vt mortalis generis ſortem agnoſcas, ſciasque haudquaquam aliter ipſi eueniſſe lapſum, quam a natura: ac ſi quidem ille breuis et momentaneus extiterit, aequum eſt agere gratias, quando plerique vi et impetu ſubmerſi, plane exſtincti ſunt. Neque enim, bone vir, ex ſanctiſſimi Moſis ſententia, perfecta et integra virtus in mortali corpore, verum quaſi torpedine laborans aliquantulum claudicans. *Torpore affecta eſt*, inquit, *latior pars coxae, qua claudicauit.* Sed fortaſſe confidentior aliquis ſe ingerens dixerit, quod ne diffidentis quidem ſit oratio, ſed precantis: ita vt ſi laetitia, bonarum affectionum optima, in lucem edenda ſit, non

nem, erat omnium perfectiſſimus et de tali hic agitur. Sequitur enim *ἵνα τὸ τέλειον ἀγαθὸν τελείοις ἀριθμοῖς εἰς γένεσιν ἔλθῃ.* Exempla etiam numeri perfecti ab ipſo infra adducta ad centenarium pertinent. Quin etiam alluditur ad verba textus biblici Gen. XVII, 17. Conf. etiam Rom. IV, 19. Omnino ergo repone, *ἑκατονταέτους.*

ταις ἔσι τεχθῇ· ἵνα τὸ τέλειον ἀγαθὸν τελείοις ἀριθμοῖς εἰς γένεσιν ἔλθῃ. Τέλειοι δ' οἱ λεχθέντες ἀριθμοὶ, καὶ μάλιςα κατὰ τὰς ἱερωτάτας ἀναγραφάς. Ἴδωμεν δ' αὐτῶν m) ἑκάτερα· Σὴμ εὐθέως μὲν ὁ υἱὸς τοῦ δικαίου Νῶε, πρόγονος δὲ τοῦ ὁρατικοῦ γένους, n) ἑκατὸν ἐτῶν εἶναι λέγεται, ἡνίκα ἐγέννησε τὸν Ἀρφαξὰτ, ὃς ἑρμηνεύεται, συνετάραξε ταλαιπωρίαν. Καλόν γε ἔγγονον ψυχῆς, κλονεῖν καὶ συγχεῖν καὶ διαφθείρειν τὴν ταλαίπωρον καὶ γέμουσαν κακῶν ἀδικίαν. Ἀλλὰ καὶ Ἀβραὰμ o) ἄρουραν φυτεύει p) χώματος, ἑκατοςῷ λόγῳ πρὸς ἀναμέτρησιν τοῦ χωρίου· καὶ Ἰσαὰκ q) ἑκατοςεύουσαν εὑρίσκει κριθήν. Καὶ r) τὴν αὐλὴν τῆς ἱερᾶς σκηνῆς Μωσῆς κατασκευάζει πήχεσιν ἑκατὸν, τὸ πρὸς ἀνατολὰς καὶ δύσεις ἐκμετρούμενος διάςημα. Ἔςι δὲ καὶ ἀπαρχῆς s) ἀπαρχὴ ὁ ἑκατοςὸς λόγος, ὃν Λευῖται τοῖς ἱερωμένοις ἀπάρχονται. Λαβοῦσι γὰρ αὐτοῖς τὰς δεκάτας παρὰ τοῦ ἔθνους διείρηται, καθάπερ ἀπὸ κτημάτων οἰκείων, τοῖς ἱερεῦσι διδόναι t) ὡς δεκάτην λόγων ἱεράν. Πολλὰ δ' ἄν τις καὶ ἄλλα σκοπῶν εὕροι πρὸς ἔπαινον τοῦ λεχθέντος ἀριθμοῦ τοῖς νόμοις ἐμφερόμενα· πρὸς δὲ τὸ παρὸν, διεξαρκεῖ τὰ εἰρημένα. Ἀλλ' ἐὰν τῶν ἑκατὸν ἀφέλῃς δεκάτην ἱερὰν ἀπαρχὴν τῷ τῆς ψυχῆς φέροντι καὶ αὔξοντι καὶ πληροῦντι καρποὺς Θεῷ, ἕτερον ἀριθμὸν u) τὸν ἐννενήκοντα διαλείψεις. Πῶς γὰρ ὁ τέλειος, μεθόριος ὢν πρώτης καὶ δεκάτης, καθ' ὃν διακρίνεται τὰ ἅγια τῶν ἁγίων τρόπον, καταπετάσματος τοῦ μέσου, x) * * ᾧ τὰ ὁμογενῆ διαςέλλεται

m) Forte *μαρτύρια*, *testimonia*, cui certe suffragantur sequentia.

n) Gen. XI, 10.

o) Gen. XXI, 33.

p) Markland reponendum monuit *χρώμενος*, atque adeo sic verto.

q) Gen. XXVI, 12.

r) Exod. XXVII, 9.

s) Num. XVIII, 28.

non aliis numeris potius, quam nonaginta *et centum* annos natis, procreetur: quo ſic abſolutum bonum perfectis numeris ad ortum veniat. Abſoluti porro ſunt dicti numeri, et praecipue ſecundum ſanctiſſimas ſcripturas. Verum horum vtrumque conſideremus. Sem filius iuſti Noae, progenitor vero perſpicacis generis, *centum annorum fuiſſe fertur, cum Arphaxat genuit,* qui exponitur, *Conturbauit aerumnam.* Praeclarum certe eſt foetum animi exagitare, et confundere et profligare aerumnoſam et malis refertam iniuſtitiam. *Abrahamus quoque aruum conſerit* adhibita proportione centeſima, ad loci dimenſionem: Iſaacus etiam *hordeum centuplo auctum reperit.* Moſes etiam atrium ſacri tentorii conſtruit, centum cubitorum dimetiens interuallum, tam ad ortum quam verſus occaſum. Praeterea primitiarum primitiae ſunt centeſima portio, quam Leuitae ſacerdotibus tribuunt. Nam cum decimas perciperent a populo, iniunctum eſt, veluti a propriis poſſeſſionibus, ſacerdotibus itidem decimam dare, centeſima ratione ſacram. Enimuero pleraque alia quis meditando inuenire poſſet, quae in legibus ſe offerunt, ad iſtius numeri commendationem; ſed in praeſentia abunde ſufficiunt, quae diximus. Atqui ſi a centum decimam, ſacras primitias, ſepoſueris Deo animi fructus inſerenti, augenti et perficienti, alium numerum nonageſimum relinques. Cur enim is perfectus non eſſet, qui finitimus eſt primae et decimae? quomodo ſancta ſanctorum dirimuntur, me-



t) Reponendum videtur, ὡς ἑκατοςὸν λόγον ἱερὸν, vel, δεκάτην ἑκατοςῷ λόγῳ ἱεράν. Agit enim auctor de numeri centenarii perfectione, decimasque ſacerdotibus a Leuitis conceſſas eo ſanctiores eſſe contendit, quoniam frugum terrae erant pars centeſima.

u) Ratione argumenti addi debet τέλειον. Ibid. pro γὰρ, ſcribe γοῦν.

x) Multa hic videntur deeſſe, ſcil. quaecunque auctor de nonagenarii numeri perfectione ſcripſerat.

ται κατὰ τὰς ἐν τοῖς εἴδεσι τομάς. Ὁ μὲν οὖν ἀστεῖος ἐλάλει τῇ διανοίᾳ τὰ ἀστεῖα ὄντως· ὁ δὲ Φαῦλος, ἑρμηνεύει ἐστὶν ὅτε παγκάλως τὰ καλὰ, πράττει δὲ αἰσχρῶς τὰ αἴσχιστα, καθάπερ καὶ Συχὲμ ὁ ἔγγονος ἀνοίας. Ἐμὼρ γάρ ἐστι πατρὸς, ὃς μεταληφθεὶς, y) ὦμος καλεῖται· αὐτὸς δὲ ἑρμηνευθεὶς ἐστιν ὦμος, πόνου σύμβολον. Ἄθλιος δὲ καὶ ταλαιπωρίας μεστὸς πόνος, ὃν ἄνοια γεννᾷ, ὥσπερ ὠφέλιμος, ᾧ συγγενὴς ἀγχίνοια. Φασὶ γοῦν οἱ χρησμοὶ, z) ὅτι ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου, ταπεινώσας αὐτὴν πρότερον, ὁ Συχέμ. Ἆρ' a) οὖν ἐξητασμένως ἐλέχθη τὸ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου, μόνον οὐκ εἰς δήλωσιν τοῦ τἀναντία οἷς εἶπεν εἰργασμένου; Δεῖνα γάρ ἐστιν ἡ ἀδέκαστος κρίσις, ἡ πάρεδρος θεοῦ δίκη, ἡ ἀειπάρθενος· ἑρμηνεύεται γὰρ ἑκάτερον Δεῖνα, κρίσις ἢ δίκη. Ταύτην οἱ ἐπιχειροῦντες ἄφρονες διαφθείρειν, διὰ τῶν καθ' ἑκάστην ἡμέραν βουλευμάτων καὶ ἐπιτηδευμάτων, b) εὐπρεπείᾳ λόγου διαδιδράσκουσι τὸν ἔλεγχον. Χρὴ γοῦν αὐτοὺς ἢ ἀκόλουθα τοῖς λεγομένοις πράττειν, ἢ ἀδικοῦντας ἡσυχάζειν· ἥμισυ γάρ, c) φασι, κακοῦ, ἡσυχία. Καθὰ καὶ Μωσῆς ἐπιτιμῶν τῷ πρεσβείων μὲν ἀξιώσαντι γένεσιν, δευτερείων δὲ τὸν ἄφθαρτον θεόν, φησιν· ἥμαρτες, ἡσύχασον. Τὸ γὰρ ἐκτραγῳδεῖν καὶ ἐπικομπάζειν τὰ κακὰ, διπλοῦν ἁμάρτημα· σχεδὸν δ' οἱ πολλοὶ πεπόνθασι τοῦτο. Λέγουσι μὲν γὰρ d) ἀεὶ τῇ παρθένῳ ἀρετῇ τὰ φίλα καὶ δίκαια· καιρὸν δ' οὐδένα παρίασιν ἐν ᾧ δυνηθέντες αὐτὴν οὐχ ὑβρίζουσι καὶ κακώσουσι. Ποία γὰρ πόλις οὐκ ἔστι μεστὴ τῶν τὴν ἀειπάρθενον ὑμνούντων ἀρετήν; οἱ τὰ ὦτα τῶν παρατυγχανόντων e) ἀποκναίουσι, διεξιόντες τὰ τοιαῦτα· ἡ φρόνησις ἀναγκαῖον, ἡ ἀφροσύνη βλαβερόν· αἱρετὸν ἡ σωφρο-

y) Omnino ſcribe ὄνος, id enim poſtulat notatio nominis Emor, חמור *aſinus*, quod hic reſpicitur. Sic ſupra de Migrat. p. 516. Tom. III, ed. n.

z) Gen. XXXIV, 3.

a) Forte οὐκ. Sic infra p. 408. lin. vlt. e. n.

b) Melius, vt videtur, εὐπειθείᾳ.

dio velo interiecto, * * quo ea quae eiusdem generis ſunt, diuiduntur iuxta ſpecierum partitiones. Quapropter vir bonus mente loquebatur reuera bona. Prauus autem interdum praeclare dicit praeclara, ſed turpiſſima turpiter agit; ſicut *etiam* Sychem: inſcitiae ſoboles: patre ſiquidem prognatus eſt Emor, qui expoſitus, appellatur, *Aſinus:* Ipſe autem *Sychem* exponitur, *Humerus,* qui eſt laboris nota. Improbus porro et aerumnae plenus eſt labor, quem parit inſcitia, ſicut vtilis eſt is cui affinis eſt mentis ſolertia. Aiunt ergo oracula, *Locutus eſt Sychem ſecundum mentem virginis, cum prius eam dedecore affeciſſet.* Anne igitur conſiderate dictum eſt illud, *Locutus eſt ex mente virginis,* tantum non oſtendens eum contraria iis quae dixerat, perpetraſſe? Eſt enim Dina *Iudicium incorruptum,* iuſtitia quae Deo aſſidet, virgo ſemper integra. Nam vtroque modo exponitur Dina, *iudicium,* aut *iuſtitia.* At veſani, qui hanc corrumpere aggrediuntur conſiliis ſtudiisque quotidianis, orationis facundia reprehenſionem effugiunt. Ergo eos decet aut iis quae dicunt conſentanea peragere, aut ius violando ſilere. *Dimidium enim,* inquiunt, *mali, ſilentium eſt.* Quemadmodum etiam Moſes increpans eum qui primas tribuebat rebus creatis, ſecundas vero immortali Deo, dicens: *peccaſti, quieſce.* Nam tragice efferre et faſtuoſe oſtentare mala, duplex eſt crimen, ſed plerique ferme id faciunt. Etenim virginem iuſtitiam ſemper blande et amice affantur: nullam vero praetermittunt occaſionem, quo, ſi poſſint, eam ſtupro et contumelia afficiant. Enimuero quae ciuitas referta non eſt iis qui virtutem ſemper virginem celebrant, et adſtan-



c) Φασὶ deeſt in MSS.

d) Quidni τῇ ἀεὶ παρθένῳ, vt ſupra ἡ πάρεδρος θεȣ̃ δίκη, ἡ ἀειπάρθενος. It. infra τὴν ἀειπάρθενον ὑμνȣ́ντων ἀρετήν. Ibid. pro δίκῃ, ſcribendum videtur δίκαια.

e) Conſimilia his ſcribuntur Lib. de Poſterit. Cain. p. 342. Tom. II. e. n.

σωφροσύνη, ἐχθρὸν ἡ ἀκολασία· ὑπομονῆς ἄξιον ἡ ἀνδρία, φυγῆς ἡ δειλία· συμφέρον ἡ δικαιοσύνη, ἀσύμφορον ἡ ἀδικία· τὸ ὅσιον καλὸν, τὸ ἀνόσιον αἰσχρόν· τὸ θεοσεβὲς ἐπαινετὸν, τὸ ἀσεβὲς ψεκτόν· f) τὸ οἰκειότατον ἀνθρώπε φύσει, τὸ εὖ καὶ βέλεσθαι καὶ πράττειν καὶ λέγειν· ἀλλοτριώτατον τὸ κακῶς τέτων ἕκαςον. Ταῦτα καὶ τὰ τοιαῦτα ἀεὶ συνείροντες, τὰ δικαςήρια καὶ βελευτήρια, καὶ τὰ θέατρα, καὶ πάντα σύλλογον καὶ θίασον, g) ἄνθρωποι ἀπατῶσιν· ὥσπερ οἱ προσωπεῖα καλὰ αἰχίςαις ὄψεσι περιτιθέντες, προνοίᾳ τῦ μὴ ὑπὸ τῶν ὁρώντων ἐλέγχεσθαι. Ἀλλ᾽ ἐδὲν ὄφελος· ἀφίξονται γάρ τινες εὖ μάλα ἐῤῥωμένοι καὶ τῷ περὶ ἀρετὴν ζήλῳ κατεσχημένοι, καὶ τὰ περικαλύμματα καὶ περίαπτα ταῦτα, ὅσα λόγῳ καταπεχνῦντες συνύφαναν, ἀπαμφιάσαντες, καὶ γυμνὴν αὐτὴν ἐφ᾽ αὐτῆς τὴν ψυχὴν αὐγάσαντες, εἴσονται καὶ τὰ ἐν μυχοῖς ἀποκείμενα τῆς φύσεως ἀπόῤῥητα· εἶτ᾽ ἔξω προαγαγόντες τὴν αἰσχύνην καὶ τὰ ὀνείδη πάντα αὐτῆς, ἐν ἡλίῳ καθαρῷ πᾶσιν ἐπιδείξονται· οἷα τις ἔσα, ὡς αἰσχρὰ καὶ καταγέλαστα, οἵαν ἐκ τῶν περιάπτων h) ὡς νόθην ἐπεμόρφαζεν εὐμορφίαν. Οἱ δὲ πρὸς ἄμυναν εὐτρεπεῖς τῶν ἔτως βεβήλων καὶ ἀκαθάρτων τρόπων, δύο μὲν εἰσιν ἀριθμῷ, i) Συμεὼν καὶ Λευί· γνώμῃ δὲ εἷς· διὸ κἀν ταῖς εὐλογίαις ὁ μὲν πατὴρ αὐτὲς ἐν τάξει ἑνὸς κατηρίθμει, διὰ τὸ σύμφωνον τῆς ὁμονοίας καὶ τῆς πρὸς ἓν καὶ τὸ αὐτὸ μέρος ὁρμῆς. Ὁ δὲ Μωσῆς ἐδὲ δυάδος ἔτι μέμνηται, ἀλλ᾽ ὅλον τὸν Συμεὼν εἰς τὸν Λευὶ ἐνεχάραξε, δύο ἐσίας κεράσάμενος, ἀφ᾽ ὧν ἕνα εἰργάσατο, οἷον ἰδέᾳ μιᾷ τυπωθέντα, τὸ ἀκέειν τῷ πράττειν ἑνώσας.

Ἐπα-

f) Τὸ redundat. Ibid. pro βέλεσθαι, melius reponitur βελεύεσθαι.

g) Forſan ἀνθρώπων.

h) Scribe καὶ ὡς.

i) Melius Συμεῶνα. Notanter vero ſcribit hic Philo nomen Simeonis in benedictione Moſis, Deutr. XXXIII, 6. ſeq.

ſtantium aures obtundunt? iſta praedicantes: prudentia neceſſaria res eſt, ſtultitia pernicioſa: optabilis temperantia, incontinentia aduerſa et inimica eſt: fortitudo perſeuerantia digna, ignauia vitanda: iuſtitia prodeſt, obeſt iniuſtitia: quod ſanctum eſt, praeclarum eſt, profanum turpe: pietas laudabilis, impietas vituperanda eſt. Hominum naturae maxime proprium eſt, recte ſentire et agere et dicere: alienum eſt ab eadem, male vnumquodque horum praeſtare. Cum haec et ſimilia ſemper in ore habeant, omnia tribunalia, curias, theatra, concilia et coetus hominum decipiunt, vt qui laruas et perſonas pulchras vultibus foediſſimis adhibent, intuentes iſtud, ne a ſpectantibus arguantur. Haec vero fictio nulli vſui eſt: accedunt enim quidam eximie fortes, et ardenti virtutis amore flagrantes, qui cum velamina et ornamenta illa orationis artificio contexta, detexerint, ac denudatam apertamque animam in lucem protulerint, perſpicient arcana in ipſis naturae penetralibus abdita; deinde foras producentes omnia ipſius probra et dedecora, ſoli puro expoſita omnibus indicabunt, et patefacient qualis ſit anima, quam per ſe turpis et deridenda, et qualem ſibi formoſitatem quamque ſpuriam, adiuncto ſibi falſo ornatu, affinxiſſet. Iam vero ad vltionem morum tam profanorum atque impurorum parati ſunt duo quidem numero, Symeon et Leui, ſed vnus ſententia. Quare in benedictionibus pater ambos vnius loco numerat, ob conſenſum et concordiam, atque ad vnum idemque impetum. Neque vero Moſes ipſe binarii meminit, ſed totum Symeonem in Leui expreſſit, mixtis ac temperatis duabus naturis, ex quibus vnum perfecit, quaſi vnica idea informatum, actione auditioni in vnum iuncta.

 Cum

6. fuiſſe omiſſum. Cum hoc concordant editiones vulgatae textus biblici, Ambroſius de Bened. Patriarch. cap. 3. Theodoretus vero in locum hunc proponit quaeſtionem, τί δήποτε τὸν Συμεὼν οὐκ εὐλόγησε; Codices ergo quibus ſcribitur Simeonis nomen, omnino mendoſi. Vide Bibliorum editionem Complutenſem. (Conf. *Dathe* in h. l. P.)

Ἐπειδὴ τοίνυν ἔγνω τὴν k) ἀπαγγελίαν λαλοῦσαν τὰ αἰδοῦς καὶ εὐλαβείας μεστὰ κατὰ τὴν αὐτοῦ διάνοιαν ὁ σπουδαῖος, ἔπαθεν ἀμφότερα, καὶ τὴν πρὸς τὸν θεὸν πίστιν, καὶ τὴν πρὸς τὸ γεννητὸν ἀπιστίαν. Εἰκότως οὖν φησι δεόμενος, l) Ἰσμαὴλ οὗτος ζήτω ἐνώπιόν σου· οὐκ ἀπὸ σκοποῦ τῶν m) ἐμφερομένων ἕκαστον τῶν ὀνομάτων τιθείς· τὸ οὗτος, τὸ ζήτω, τὸ ἐνώπιόν σου. Ταῖς γὰρ ἐν τοῖς πράγμασιν ὁμωνυμίαις ἠπατήθησαν οὐκ ὀλίγοι. Τί δ' ἐστιν ὃ λέγω σκεπτέον. Ἑρμηνευθεὶς Ἰσμαήλ, ἐστιν ἀκοὴ θεοῦ· τῶν δὲ θείων δογμάτων οἱ μὲν ἀκούουσιν ἐπ' ὠφελείᾳ, οἱ δ' ἐπὶ βλάβῃ αὐτοῦ τε καὶ ἑτέρων. Ἢ τὸν οἰωνοσκόπον n) Βαλαὰμ οὐχ ὁρᾷς; Οὗτος εἰσάγεται ἀκούων λόγια θεοῦ, ἐπιστάμενός τε ἐπιστήμην παρὰ ὑψίστου. Ἀλλὰ τί ἐκ τῆς τοιαύτης ἀκροάσεως, τί δ' ἐκ τῆς τοιαύτης ἐπιστήμης ὤνατο; γνώμῃ μὲν ἐπιχειρήσας τὸ ψυχῆς ἄριστον ὄμμα λυμήνασθαι, ὃ δὴ μόνον τὸν θεὸν ὁρᾷν πεπαίδευται, μὴ δυνηθεὶς δὲ, διὰ τὸ σωτῆρος κράτος ἀήττητον. Τοιγαροῦν ὁ μὲν κατακεντούμενος ὑπὸ φρενοβλαβείας τῆς ἑαυτοῦ, καὶ τραύματα πολλὰ δεξάμενος, o) ἐν μέσοις τραυματίαις ἀπώλετο· διότι σοφιστείᾳ μαντικῇ τὴν θεοφόρητον προφητείαν p) προεχάραξε. Δεόντως οὖν εὔχεται ὁ ἀστεῖος, ἵν' οὗτος μόνος Ἰσμαὴλ ὑγιαίνῃ, διὰ τοὺς μὴ γνησίως ἀκούοντας τῶν ἱερῶν ὑφηγήσεων· οἷς ἀπεῖπε Μωϋσῆς ἄντικρυς εἰς ἐκκλησίαν φοιτᾷν τοῦ πανηγεμόνος. Τεθλασμένοι γὰρ q) τὰ γεννητικὰ τῆς διανοίας, ἢ καὶ τελείως ἀποκοπέντες, οἱ τὸν ἴδιον νοῦν καὶ τὴν αἴσθησιν ἀποσεμνύνοντες, ὡς μόνα τῶν κατ' ἀνθρώπους αἴτια πραγμάτων· ἢ αἱ πολυθείας ἐρασταὶ καὶ τὸν πολύθεον ἐκτετιμηκότες θίασον, οἱ ἐκ πόρνης γεγονότες, τὸν ἕνα ἄνδρα καὶ πατέρα φιλαρέτου ψυχῆς θεὸν οὐκ εἰδότες, ἆρ' οὐκ εἰκότως ἐλαύνονταί τε καὶ φυγαδεύονται;

k) Melius ἐπαγγελίαν.

l) Gen. XVII, 18.

m) Forte ἐκφερομένων.

n) Ita MS. Vat. pro Βαλὰκ, in Edit. Cuius emendationis ratio facile patet ex Num. XXIV, 16.

Cum igitur cognouit promiſſionem enarrantem verecundiae et religionis plena ex animi ſui ſententia, virtutis cultor, vtrumque in ſe admiſit, et fidem in Deum, et diffidentiam erga res creatas. Quocirca merito dicit orans, *Vtinam Iſmael hic viuat coram te.* Nec abs re ponit vnumquodque vocabulorum quae hic vſurpantur, *τὸ hic, τὸ viuat, τὸ in conſpectu tuo.* Etenim multiplicibus rerum nominibus, non pauci ſunt decepti. Quid autem ſit quod dico, animaduertendum eſt: Iſmael expoſitus eſt, *auditio Dei;* porro diuina decreta nonnulli audiunt non ſine fructu et commodo ſuo; alii vero damno ſuo et aliorum. Annon augurem Balaamum vides? Is inducitur Dei *oraculis aures praebens, et ſcientiam habens ex altiſſimo.* Ecquem vero ex eiusmodi auſcultatione, quem ex tali peritia fructum percepit? cum mente quidem aggreſſus fuiſſet praeſtantiſſimi animi oculum *Iſrael*, disperdere, qui certe ſolus Deum cernere didicit, neque vero id aſſequi potuiſſet, ob ſeruatoris *Dei* robur inuictum. Idcirco ſua veſania percitus, multis vulneribus acceptis, *in medio ſauciatorum occubuit,* quia nimirum fallaci diuinatione a Deo inſpiratum vaticinium peruerterat. Merito igitur vir bonus, *Abrahamus* orat, vt hic ſolus Iſmael ſanus ſit, propter eos qui non, vt par eſt, ſerio audiunt inſtitutiones diuinas, quibus diſerte interdixit Moſes, ne frequentarent coetum omnium rectoris. Illi enim qui *contuſas* habent prolificas mentis *partes*, vel etiam plane *abſciſſas*, hoc eſt, qui mentem ſuam et ſenſum magnifice extollunt, quaſi ſolas rerum humanarum cauſas, vel ii qui multitudinem deorum amplexati ſunt, iisque ſeruientes honorem impendunt, meretricum filii, vnum maritum et patrem pro-



o) Num. XXXI, 18.

p) Scribe παρεχάραξε, vel μετεχάραξε, ſed poſterior vox Philoni vſitatior.

q) Deut. XXIII, 3.

ται; Παραπλήσιόν μοι δοκοῦσι ποιεῖν καὶ οἱ κατηγοροῦντες r) τούτου γονεῖς ἐπ' οἰνοφλυγίᾳ· λέγουσι γάρ, s) ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ διὰ τῆς προσθήκης τῆς οὗτος, μηνύοντες, ὅτι εἰσὶν ἕτεροι παῖδες καρτερικοὶ καὶ σώφρονες, τοῖς ἐπιτάγμασι τοῦ ὀρθοῦ λόγου καὶ παιδείας πειθαρχοῦντες· t) οἱ γὰρ ψυχῆς ἀψευδέστατοι γονεῖς, ὑφ' ὧν κατηγορηθῆναι μὲν αἴσχιστον, ἐπαινεθῆναι δὲ εὐκλεέστατον. Τὸ, u) οὗτός ἐστιν Ἀαρὼν καὶ Μωσῆς, οἷς εἶπεν ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου· καὶ τὸ, οὗτοί εἰσιν οἱ διαλεγόμενοι Φαραὼ βασιλεῖ ταῦτα μὴ νομίζωμεν εἰρῆσθαι παρέργως, ἢ τὰς x) δείξεις μὴ πλέον τι τῶν ὀνομάτων παρεμφαίνειν· ἐπειδὴ γὰρ Μωσῆς μέν ἐστι νοῦς ὁ καθαρώτατος, Ἀαρὼν δὲ λόγος αὐτοῦ πεπαίδευται δὲ καὶ ὁ y) νοῦς θεοπρεπῶς ἐφάπτεσθαι, καὶ ὁ λόγος ὁσίως ἑρμηνεύειν τὰ ὅσια· z) μιμηλίζοντες δ' οἱ σοφισταὶ καὶ παρακόπτοντες τὸ δόκιμον νόμισμα, a) αὐτοὺς φασι καὶ νοεῖν ὀρθῶς περὶ τοῦ ἀρίστου, καὶ λέγειν ἐπαινετῶς. Ὅπως οὖν μὴ ἀπατώμεθα παραθέσει τῶν κεκιβδηλευμένων πρὸς τὰ δόκιμα δι' ὁμοιότητος τοῦ χαρακτῆρος, βάσανον ἔδωκεν ᾗ διακριθήσεται. Τίς οὖν ἡ βάσανος; τὸ ἐξαγαγεῖν ἐκ τῆς σωματικῆς χώρας τὸν ὁρατικὸν καὶ φιλοθεάμονα νοῦν καὶ φιλόσοφον. Ὁ μὲν γὰρ τοῦτο δυνηθεὶς, Μωσῆς ἐστιν οὗτος· ὁ δὲ ἀδυνατήσας, ὁ λεγόμενος μόνον, μυρίας δὲ σεμνότητας ὀνομάτων ἐπαμφισκόμενος, γελᾶται. b) Ζῆν δὲ εὔχεται τῷ Ἰσμαὴλ, οὐ τῆς μετὰ σώματος ζωῆς ἐπιστρεφόμενος· ἀλλ' ἵνα τὸ θεῖον ἄκουσμα ἐπὶ ψυχῇ διαιωνίζον, ἐγείρῃ τε αὐτὸν καὶ ζωπυρῇ.

Καὶ

r) Omnino ſcribendum τοῦ υἱοῦ, vt liquet ex ſeq.

s) Deutr. XXI, 19.

t) Melius οὗτοι. Infra vero mox ſcribendum, τὸ δὲ, οὗτος.

u) Exod. VI, 26. 27.

x) Forte λέξεις.

y) Hinc forte deſumtum ſcribitur in Graecis fragmentis Lib. Nom.

bae animae, Deum, non agnoſcentes, nonne iure abiguntur et amandantur? Simile quiddam mihi facere videntur parentes qui filium temulentiae accuſant: aiunt enim, *Filius noſter iſte proteruus et contumax eſt:* adiectione pronominis *iſte,* indicantes, alios eſſe liberos patientes laboris, et temperantes, atque rationis rectae et diſciplinae praeceptis obſequentes. Etenim animi veriſſimi parentes hi ſunt, a quibus incuſari quidem turpiſſimum, laudari vero honeſtiſſimum eſt. Iſtud vero, *Iſte eſt Aaron et Moſes, quibus praecepit Deus, vt educerent filios Iſrael ex Aegypto:* et iterum: *Hi ſunt, qui loquuntur ad Pharaonem regem:* haec ne cenſeamus ſupervacanee dicta eſſe, aut iſtas voces non quid amplius ſubindicare quam ipſa nomina. Quandoquidem enim Moſes eſt mens puriſſima, Aaron autem oratio ipſius: porro autem mens edocta eſt diuina diuine excogitare, itemque oratio eadem pie exponere: ſophiſtae iam mimos agentes et adulterantes probatam monetam, ſe ipſos aiunt et recte ſentire de eo quod optimum eſt, et laudabiliter dicere. Ergo ne decipiamur, cum adulterini nummi iuxta probatos apponentur, ob characteris ſimilitudinem, examen dedit quo diſtinguantur et explorentur. Ecquodnam iſtud eſt? vt mens perſpicax, et ſpectandi cupida, et ſapientiae ſtudioſa, (*ſc. Iſrael*) educatur e regione corporea. Etenim hic ipſe Moſes eſt, qui iſtud efficere potuit: qui vero nequit, verbotenus tantum, dumque infinitis verborum ampullis exultat, deridetur. Praeterea *vitam precatur Iſmaeli,* non quod huius vitae, quae cum corpore degitur, curam haberet: ſed vt diuina auditio in anima perpetuo conſeruata, ipſum excitaret ac refocillaret.

Atque

Nom. Hebr. apud Hieron. p. 111. μωσῆς νᾶς ἢ εὐσεβὴς &c. vide ibi editoris notas.

z) Supra de Profug. p. 256. Tom. IV. e. n. ſcribitur μιμηλάζον. Sic quoque Heſych.

a) Ita pro τᾶτο, MS. Coll. Nou.

b) Gen. XVII, 18.

